ΓΙΤΑ,

ἢ

ΘΕΣΠΕΣΙΟΝ ΜΕΛΟΣ,

ΜΕΤΑΦΡΑΣΘΕΙΣΑ ἘΚ ΤΟΥ ΒΡΑΧΜΑΝΙΚΟΥ

ΠΑΡΑ

ΔΗΜΗΤΡΙΟΥ ΓΑΛΑΝΟΥ, ΑΘΗΝΑΙΟΥ.

Νῦν πρῶτον Ἑλληνιστὶ ἐκδοθεῖσα,

καὶ

Μετὰ προλεγομένων καὶ παρατηρήσεων αὐξηθεῖσα,

Δαπάνῃ μὲν καὶ μελέτῃ

ΓΕΩΡΓΙΟΥ Κ. ΤΥΠΑΛΔΟΥ,

Ἐφόρου τῆς Δημοσίου καὶ Πανεπιστημιακῆς Βιβλιοθήκης,

Ἐπιστασίᾳ δὲ καὶ διορθώσει

Γ. ΑΠΟΣΤΟΛΙΔΟΥ ΚΟΣΜΗΤΟΥ,

Βιβλιοφύλακος.

ΕΞ ΑΝΑΤΟΛΩΝ ΤΟ ΦΩΣ

ΕΝ ΑΘΗΝΑΙΣ,

Ἐκ τῆς Τυπογραφίας Γ. Χαρτοφύλακος.

1848.

ΤΩ ΜΕΓΑΛΕΙΟΤΑΤΩ

ΒΑΣΙΛΕΙ ΤΗΣ ΕΛΛΑΔΟΣ

ΟΘΩΝΙ ΤΩ Α΄.

ΚΗΔΕΜΟΝΙ ΚΑΙ ΠΡΟΣΤΑΤῌ

ΤΗΣ ΕΛΛΗΝΙΚΗΣ ΠΑΙΔΕΙΑΣ

ΤΗΝ

ΓΙΤΑΝ

ΜΕΤΑΦΡΑΣΘΕΙΣΑΝ ΕΚ ΤΟΥ ΙΝΔΙΚΟΥ

παρὰ τοῦ

ΔΗΜΗΤΡΙΟΥ ΓΑΛΑΝΟΥ

Εὐσεβάστως ἀνατίθησιν

Ο ΕΚΔΟΤΗΣ.

ΠΡΟΛΕΓΟΜΕΝΑ.

Ο Τρίτος Τόμος τῆς Ἑλληνικῆς τῶν Ἰνδικῶν Μεταφράσεων Συλλογῆς περιέχει τὴν Γιτὰν, ἣν **Θεσπέσιον Μέλος** ὀνομάζει ὁ σοφὸς Σχλέγελος (1). Θεωρεῖται δὲ ὡς ἓν τῶν Ἐπεισοδίων τῆς Μαχαβαράτας, τοῦ μεγάλου Ἰνδικοῦ Ποιήματος, οὗ τινος τὴν Συντομὴν, ἢ Βαλαβαράταν ἐδημοσιεύσαμεν τὸ παρελθὸν ἔτος.

Κατὰ δυστυχίαν ὅμως τὰ χειρόγραφα τοῦ ἀοιδίμου Δ. Γαλανοῦ δὲν ἔλαβον, φαίνεται, τὴν τελευταίαν τοῦ μεταφραστοῦ ἐπιδιόρθωσιν. Ἐκ τούτου πολλαὶ παρατηροῦνται ἐν αὐτοῖς, καὶ ἰδίως ἐν τῇ παρούσῃ Γιτᾷ, μεταῤῥυθμίσεις, καὶ γραφαὶ διάφοροι, αἵ τινες μετ᾽ ἀκριβείας ἐν τοῖς σχολίοις ἐσημειώθησαν διὰ τῶν στοιχείων ΠΓ. ΔΓ., ἤτοι Πρώτη Γραφὴ, καὶ Διάφοροι Γραφαί.

Ὁ Γαλανὸς, διδαχθεὶς τὴν Γιτὰν κατὰ τὸ ἔτος 1802 παρὰ τοῦ Κανδαρδάσα, οὐ μόνον μέχρι τῆς τελευτῆς αὐτοῦ, τριάκοντα, ὡς ἔγγιστα, ἔτη ἀδιόρθωτον, οὕτως εἰπεῖν, ἐγκατέλιπεν, ἀλλ᾽ οὐδὲ τὸ παραμικρὸν περὶ τῆς ἐν αὐτῇ ἐμπεριεχομένης ὕλης ἀναφέρει. Διὸ ἐν τῷ χειρογράφῳ μετὰ τὸν τίτλον Γιτὰ, ἕπεται ἀμέσως τὸ χεί-

(1) Gœttlicher Gesang, (Chant Sacré), θεσπέσιον μέλος Adelung, Biblioth. Sanscr. Σ. 288.—Fr. Schlegel Bibl. Ind. II. 2. σελ. 219.

μενον· « Τί ἐποίησαν, ὦ Σανζαία, οἱ πολεμησείοντες υἱοί » μου, καὶ οἱ τοῦ Πανδοῦ, συνελθόντες εἰς τὴν Κουρου» ξέτραν, τὴν γῆν τῆς ἀρετῆς; »

Ἡ Γιτὰ ἢ Βαγαβάδα — Γιτὰ ἐστὶ θεοσοφικός τις διάλογος μεταξὺ τοῦ Κρισνᾶ (ὃς ἦν ὁ ἐνανθρωπήσας, παρ' Ἰνδοῖς, Θεὸς Βισνοῦς (1)), καὶ τοῦ ἐπιστηθίου αὐτοῦ Ἀρζούνα, (ὃς ἦν εἷς ἐκ τῶν πέντε υἱῶν τοῦ Πανδοῦ), ὃν ἐξαιρέτως ἠγάπα. Περιέχει δ' ἐν συνόψει πᾶσαν σχεδὸν τὴν φιλοσοφίαν, και τὴν μυστηριώδη θεολογίαν τῶν ἀρχαίων Ἰνδῶν (2), καὶ ὡς θεοδίδακτον ᾆσμα ᾀσμάτων παρ' αὐτοῖς δοξάζεται, καὶ ὡς τοιοῦτον, μέχρι τοῦδε πρεσβεύεται καὶ τιμᾶται. Ἡ μελέτη ἑπομένως τοῦ μικροῦ τούτου ποιήματος καθίσταται λίαν περίεργος καὶ ἀναγκαία πρὸς πάντας τοὺς ἐνασχολουμένους εἰς τὴν πρόοδον τοῦ ἀρχαίου πολιτισμοῦ, τῶν φιλοσοφημάτων, καὶ τῶν θεοσοφικῶν δοξασιῶν τῆς Ἀσίας, τῆς κοιτίδος, τῳόντι, τοῦ ἀνθρωπίνου γένους (3).

Τὸ μὲν Σανσκριτικὸν χειρόγραφον τῆς Γιτᾶς ἐδημοσιεύθη τὸ πρῶτον ἐν Καλκούτᾳ κατὰ τὸ ἔτος 1808—1815—1816, μετεφράσθη δὲ καὶ ἐτυπώθη· ἀγγλιστὶ μὲν παρὰ τοῦ Ἰνδολόγου Καρόλου Οὐΐλκενς (Caroli Wil-

---

(1) Πολλὰς τοιαύτας ἐνσαρκώσεις τοῦ Βισνοῦ πρεσβεύουσιν οἱ Ἰνδοί. Καὶ καθὼς μετενσωματοῦται ἡ ψυχὴ τοῦ ἀνθρώπου πολλάκις, οὕτω καὶ ὁ Θεὸς ἐνανθρωπεῖ· διὸ λέγει (Σ. 10) « οὐκ ἦν χρόνος ὅτε οὐκ ἦμεν οὔτ' ἐγώ, οὔτε » σύ, οὔθ' οὗτοι οἱ βασιλεῖς καὶ ἡγεμόνες, οὐδὲ μὴν ἔσται, ὅτε οὐκ ἐσόμεθα. » Καὶ (Σ. 32) « Πολλαὶ γεννήσεις (λέγει πάλιν ὁ Κρισνᾶς) καὶ σοῦ καὶ ἐμοῦ » ἐγένοντο, ἃς ἐγὼ μὲν ἁπαξαπάσας γινώσκω, σὺ δ' οὔ. » κτλ.

(2) Ueber metaphysiche Gegenstände . . . und eine übersicht der ganzen mystischen Theologie des alten Indiens giebt. Adel. αὐτόθι.

(3) Fr. Schlegel. αὐτόθι.

kens) τὸ ἔτος 1785· καὶ ἐξ αὐτῆς πάλιν γαλλιστὶ παρὰ Παῤῥώδου μετὰ δύο ἔτη (1)· λατινιστὶ δὲ παρὰ τοῦ πολυμαθοῦς Φρ. Σχλεγέλου τὸ ἔτος 1833. Ὁ δὲ σοφὸς Λάσσενος, πλουτήσας τὴν Σχλεγελιανὴν ταύτην μετάφρασιν διὰ πολλῶν καὶ σπουδαίων παρατηρήσεων, κατὰ τὸ ἔτος 1846 ἐν Βόννῃ μετετύπωσε (2).

Πολλὰς καὶ πολλοῦ λόγου ἀξίας παρατηρήσεις περὶ Γιτᾶς εὑρήσει τις ἐν τῷ περὶ Ἰνδικῆς ἀρχαιολογίας πονήματι τοῦ Κ. Λασσένου (3)· ἐν τῇ Ἰνδικῇ βιβλιοθήκῃ τοῦ Φρ. Σχλεγέλου (4)· ἐν τῷ περὶ γλώσσης καὶ φιλοσοφίας Ἰνδῶν πονηματίῳ αὐτοῦ (5)· ἐν τῷ συγγράμματι τοῦ Λαγλουᾶ (6)· ἐν τῷ περὶ φιλοσοφίας Ἰνδῶν δοκιμίῳ τοῦ ἐνδόξου Κολεμβρωκίου (7), καὶ πλείονας ἄλλας ἐν ταῖς συλλογαῖς τῶν ἀπομνημονευμάτων τῶν ἐν Λονδίνῳ καὶ ἐν Παρισίοις Ἀσιατικῶν ἑταιριῶν, κ.τ λ. (8).

---

(1) Le Baghuat—Geeta, ou Dialogues de Kreeshna et d'Arjoon, contenant un précis de la religion, et de la morale des Indiens, traduit du Sanscrit, langue Sacrée des Brames, en auglais par Charles Wilkins, et de l' auglais en Français par Parraud Paris 1787. 8.

(2) Τὴν ἔκδοσιν ταύτην ἔλαβον μετ' ἄλλων αὐτοῦ συγγραμμάτων παρ' αὐτοῦ τοῦ σοφοῦ Ἰνδολόγου Λασσένου, πρὸς ὃν ὁμολογῶ ἄπειρον εὐγνωμοσύνην.

(3) Lassen, Indische alterthumsknnd I. bd. (Bonne 1843).

(4) Fr. Schlegel, Indische Biblioth.

(5) Τοῦ αὐτοῦ über die Sprache und Weischeite der Ind.

(6) Langlois· monumens littéraires de l'Inde.

(7) Essay on the philosophy of the Hindus. By Henry Thomas Colebrooke — in Transactions of the Royal Asiat. Societ. T. I. p. 92, 439. 549.

(8) Sur la philosophie des Hindous, d' aprés les mémoires de M. Colebrooke. nouv. mélanges Asiat. par M. Abel Rémusart, Paris 1829. — Adelung. Bibl. Sansc. Σ. 238—243. καὶ Σ. 171—172. — Essai sur la philosophie des Hindous par Panthier. Paris 1835.—Littératur der philos. der Hindu in Vyasa von Frank. — Langlois philos. et Relig. des

Περὶ δὲ τῆς Ἑλληνικῆς μεταφράσεως τῆς Γιτᾶς οὐδὲν ἔχομεν εἰπεῖν, πλὴν ὅτι ὁ ἀοίδιμος Γαλανὸς, ἐννοῶν καλῶς τὴν ἀρχαίαν Σανσκριτικὴν γλῶσσαν, καὶ πολλὰς ἄλλας ἀσιατικὰς διαλέκτους· γνωρίζων ἐπίσης τὰ φιλοσοφικὰ συστήματα, καὶ τὰς θεοσοφικὰς δοξασίας τῶν Ἰνδῶν· καὶ ὢν μεμυημένος εἰς τὰ μυστήρια καὶ ἁγιστείας αὐτῶν· τοιοῦτος λέγω ὢν, ἐδιδάχθη, ὡς ὁ ἴδιος ὁμολογεῖ εἰς τὸ τέλος τοῦ παρόντος συγγράμματος, ὅπερ ἐστὶν ἐμελέτησε, καὶ μετὰ τοῦ Βραχμᾶνος Κανδαρδάσα μετ᾽ ἐπιστασίας ἐξήγησεν, ἐν αὐτῇ τῇ ἱερᾷ τῶν Βραχμάνων πόλει, τὴν Γιτάν. Οὐδεμία ἑπομένως ἀμφιβολία, ὅτι καὶ κείμενον καλὸν μετεχειρίσθη, καὶ μετὰ πολλῆς προσοχῆς καὶ ἀκριβείας αὐτὸ μετέφρασε· καὶ μετὰ πολλοῦ λόγου, καὶ μεγίστης ἀξίας σχολίων πλουτήσας ἐκόσμησε. Ταῦτά εἰσι τῆς παρούσης ἐκδόσεως τὰ ἀνεκτίμητα καὶ σπάνια προτερήματα.

Ἡ Γιτὰ, ὡς ἐῤῥέθη, πραγματευομένη ὕλην ὅλως ὑψηλὴν, καὶ τὰ τῆς θείας, καὶ ἀνθρωπίνου παρ᾽ Ἰνδοῖς

Indiens etc., Mélange de littérature Sanscrite p. 235 — 268. Humbolt περὶ Γιτᾶς διατριβὴν καταχωρηθεῖσαν εἰς τὰ ἀπομν. τῆς ἐν Βερολίνῳ ἀκαδ. 1828. Ritter's Geschite der philosophie. T. I. μετάφρ. γαλλ. — V. Cousin. Cours de l'histoire de la philos. du XVIII siècle. Paris 1829. —Das alte Indien mit besonderer Rücksicht auf Aegypten. von Bohlen. —Windischman. Sankara, sive de Theologumenis Vedanticorum. Bon. 1833.

Πολλὰς φιλολογικὰς παρατηρήσεις χρεωστῶ εἰς τὴν ἀγαθότητα τῶν σοφῶν Ἰνδολόγων ΚΚ. Λασσένου καὶ Ἑρμάννου Βροκχάους, πρὸς οὓς ὁμολογῶ μεγίστην εὐγνωμοσύνην. Διάφορα δὲ ἐκ τῶν προειρημένων συγγραμμάτων μοὶ ἐπρομήθευσαν ἐκ Λειψίας μὲν ὁ φιλόμουσος Κ. Ἀθανάσιος Θεοχαρίδης· ἐκ Παρισίων δὲ ὁ ἐν Μασσαλίᾳ φιλογενέστατος Ἑλλ. Πρόξενος Κ. Ζ. Τζιτζίνιας, τοὺς ὁποίους δημοσίως καὶ μετ᾽ εὐγνωμοσύνης εὐχαριστῶ.

σοφίας ἀπόκρυφα διαλαμβάνουσα, ἀπαιτεῖ διασάφησίν τινα, πρὸς πλειοτέραν τῶν πρωτοπείρων νέων κατάληψιν, ἣν τολμῶντες μετὰ πολλῆς τῆς συστολῆς, ἐπιχειριζόμεθα, ἵλεον τὴν κρίσιν τῶν σοφῶν ἐξαιτούμενοι.

ΠΡΟΘΕΩΡΙΑ.

Τὰ ἱερὰ τῶν Ἰνδῶν βιβλία, Βέδαι καλούμενα, διαιροῦνται ἐν γένει εἰς τρία μέρη· ἐξ ὧν τὸ μὲν ἐνασχολεῖται περὶ τῆς Πρακτικῆς Ἀρετῆς, τὸ δεύτερον περὶ Θεωρητικῆς, καὶ τὸ τρίτον περὶ Ἀθανασίας (1). Περὶ τῶν αὐτῶν τούτων ἀντικειμένων καταγίνεται καὶ ἡ Γιτὰ ἐν τοῖς δέκα καὶ ὀκτὼ κεφαλαίοις, ἀνὰ ἓξ δηλόνότι κεφάλαια ἐπὶ ἑκάστου ἀντικειμένου· ὥστε ἡ Γιτὰ σύνοψις ἢ συντομή ἐστιν, οὕτως εἰπεῖν, τῶν Βεδῶν. Καθότι ὁ μέγας λόγος Τὰτ, Τβὰμ, Ἀσεὶ, ἤτοι Σὺ εἶ ἐκεῖνο τὸ Ὂν, εἶναι τὸ κυρίως ὑποκείμενον τῶν Βεδῶν· τοῦτό δέ ἐςι καὶ τὸ τῆς Γιτᾶς (2). Διότι ἡ ὕψιςος καὶ ἐθνοσωτήριος ἔννοια τοῦ ἑνὸς Θεοῦ τοῦ Παντοκράτορος, διασωθεῖσα μετὰ τῶν λειψάνων τοῦ ἀνθρωπίνου γένους ἐπὶ τοῦ Ἀραρὰτ, περιίπτατο ἐναγκαλιζομένη τὴν διάνοιαν παντὸς τοῦ ἀρχαίου κόσμου, καὶ κατὰ τὸ μέτρον τῆς ἀντιλήψεως ἑκάστου λαοῦ καὶ ἔθνους ἐξηγεῖτο εἰς τὰς ἱερὰς αὐτῶν βίβλους. Ἐκ τούτου ἡ φαινομένη πολλάκις ὁμοιότης τῶν ὑψηλοτέρων θρησκευ-

(1) Τὸ μέρος τοῦτο τῶν Βεδῶν θεωρεῖται παρὰ τοῖς Ἰνδοῖς, ὡς θεόπνευστον. Τὰ δὲ λοιπὰ μέρη διαλαμβάνοντα τὰς ἐπιστήμας, ὡς ἔργα σοφῶν ἀνθρώπων.

(2) Γιτὰ Κεφ. ς'. Δίς. 19. Σχόλ.

τικῶν πεποιθήσεων τῶν ἀνθρώπων, αἵτινες ὡς ῥύακες, ποτὲ μὲν διαυγεῖς καὶ καθαροί, ποτὲ δὲ βορβορώδεις καὶ μεμολυσμένοι, μετὰ μακρὰν ἀποπλάνησιν, ὡς εἰς ἀρχέγονον καὶ ζωοδόχον πηγὴν συῤῥέοντες συγχωνεύονται (1).

Ὁ ἄνθρωπος διανοούμενος εἶδεν ἑαυτὸν ἱστάμενον, οὕτως εἰπεῖν, ἐπί τινος σημείου τῆς δημιουργίας, μεταξὺ ὑπάρξεως καὶ ἀνυπαρξίας· μεταξὺ τῆς ἐφημέρου στιγμῆς τοῦ ἐνεστῶτος, καὶ τοῦ ἀπείρου μέλλοντος, καὶ φόβῳ συσχεθεὶς ἠρώτησεν ἀπορῶν πᾶσαν τὴν κτίσιν· ποῖος ὁ σκοπός, ποῖον τὸ τέλος τῆς προσκαίρου αὐτοῦ ὑπάρξεως; Ἀλλ' ἡ κτίσις, ὑποκειμένη εἰς τὸ αὐτὸ τῆς μεταβολῆς καὶ φθορᾶς πάθημα, ἔμεινεν ἄφωνος. Μόνος ὁ Θεὸς πασῶν τῶν αἰτιῶν καὶ αἰτιατῶν πρωτίστη καὶ ἀρχικὴ αἰτία, ὁ τῆς ἀϊδιότητος Κύριος ἠδύνατο λῦσαι τὸ δυσεξήγητον ζήτημα, εἴτε ἀμέσως, ἢ δι' ἀποκαλύψεως, ἢ διὰ τοῦ ἐν ἡμῖν ἐνδιαθέτου ὀρθοῦ λόγου. (2) Τοῦτο φαίνεται ἐξηγεῖ ἐν τῇ παρούσῃ Γιτᾷ ὁ μέγας Βραχμὰν Βεάσας, διὰ τοῦ στόματος τοῦ Κρισνᾶ, πρὸς τὸν ἀγαπητὸν αὐτοῦ μαθητὴν καὶ φίλον Ἀρζούναν.

Οἱ Ἰνδοὶ μίαν πρεσβεύουσιν ὕπαρξιν, ἓν ὄντως Ὄν, τὸν ἀΐδιον, λέγω, καὶ ἀπόλυτον Βράχμαν· δύο δὲ ἀρχὰς τῶν ὄντων καὶ τῆς κοσμογονίας. Καθότι ἐκ τῆς οὐσίας τοῦ Βράχμα παρήχθη, λέγουσιν, ἡ Μαΐα, ἤτοι ἡ ἀρχέγονος ὕλη· εἰς δὲ τὸ πλήρωμα τοῦ χρόνου, ἐνεργῶν

(1) Ἴδε τοὺς προειρημένους συγγραφεῖς περὶ τῆς φιλοσοφίας τῶν Ἰνδῶν.

(2) Ἡ γοῦν ψυχὴ διὰ φιλοσοφίας, λαβοῦσα ἡγεμόνα τὸν νοῦν, ἐπεραιώθη καὶ ἐξεδήμησεν, ἀκοπίαστόν τινα ὁδὸν εὑροῦσα . . . ῥᾳδίως οἶμαι τὰ συγγενῆ γνωρίσασα, καὶ Θείῳ ψυχῆς ὄμματι τὰ θεῖα καταλαβοῦσα τοῖς τε ἀνθρώποις προφητεύουσα. Ἀριστ. περὶ Κόσμου.

αὐτὸς ἐπ᾽ αὐτῆς, ὡς πλάστης Βραχμὰς, ὡς διακοσμῶν Βισνοῦς καὶ ὡς διαλύων, πρὸς ἀνακαίνησιν, Σίβας, ἔπλασε τὸν σύμπαντα κόσμον· ὥστε Βραχμὰς, Βισνοῦς, Σίβας ἐστὶν ἡ ἐν τρισὶ δυνάμεσι κοσμικὴ μονὰς, ἤτοι ἡ ἐν χρόνῳ, καὶ τόπῳ ἐμφάνισις αὐτοῦ τοῦ Βράχμα. Ἐκ τούτου γίνεται δῆλον, ὅτι ἐκ τῆς μόνης προϋπαρχούσης οὐσίας τοῦ ἑνὸς ἀποῤῥέουσι τὰ πάντα· ὕλη δηλονότι καὶ θεοὶ, δυνάμεις καὶ φαινόμενα, αἰτίαι καὶ αἰτιατά· διὸ καὶ τὸ παρ᾽ Ἰνδοῖς μέγα ἀπόφθεγμα τοῦ πανθεϊσμοῦ, ὅτι τὸ Πᾶν ἐν τῷ Θεῷ, καὶ ὁ Θεὸς ἐν τῷ Παντὶ, ἐξ οὗ ἐξῆλθε, καὶ εἰς ὃν ἐπιστρέψει (1).

Σημειωτέον ἐνταῦθα, χάριν τῶν νέων, ὅτι οὐσιώδης ὑπάρχει διαφορὰ μεταξὺ δημιουργίας καὶ ἀποῤῥοίας. Εἰς μὲν τὴν πρώτην ὁ Θεὸς, δημιουργῆσαι θέλων τὸν κόσμον, παρῆξεν ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι τὴν μηδόλως ὑπάρχουσαν πρότερον ὕλην· οὕτω χωρίζεται ὁ ἄϋλος καὶ ἀΐδιος Θεὸς, ἀπὸ τὴν ἐν χρόνῳ ὕλην, ἣν αὐτὸς εἰς τὸ πλήρωμα τοῦ χρόνου ἐκ τῆς ἀνυπαρξίας εἰς τὴν ὕπαρξιν, καὶ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παρήγαγε, πρότερον μὴ ὑπάρχουσαν, διὰ μόνης τῆς ἀκαταλήπτου καὶ παντοδυνάμου αὐτοῦ θελήσεως· ἑτερότης ἄρα Θεοῦ καὶ ὕλης, Δημιουργοῦ καὶ Κόσμου. Μόνος ὁ Θεὸς ἀϊδίως ὑπάρχει· εἰς δὲ τὸ πλήρωμα τοῦ χρόνου εἶπε· γεννηθήτω τὸ Πᾶν καὶ τὰ ἐν αὐτῷ, καὶ ἐγένετο τὸ Πᾶν, καὶ πάντα τὰ ἐν αὐτῷ.

Εἰς δὲ τὴν δευτέραν ὁ Θεὸς παρ᾽ Ἰνδοῖς, πλάσαι θέλων τὸν κόσμον, παράγει ἐξ ἑαυτοῦ τὴν ὕλην, ὅπερ ἐστὶ κυρίως

(1) Adelung. philosophiche systeme 2. 172 — 187. — Bohlen das alte Indien.

ἀπόῤῥοια, τουτέςι ἐμφάνισις ἢ ἀπελευθέρωσις ὄντος δυνάμει προϋπάρχοντος. Ἄλλως· ἀπόῤῥοιά ἐςι παρουσία ὄντος ὑπάρχοντος ἡνωμένου ἢ κεκρυμμένου πρότερον εἰς ἄλλο ὂν καὶ διὰ τῆς θελήσεως αὐτοῦ ὕςερον χωρισθέντος· ὥςε Θεὸς, κατ᾽ αὐτοὺς, καὶ ὕλη συνυπῆρχον ἀϊδίως τὸ ἓν ἐντὸς, οὕτως εἰπεῖν, τοῦ ἄλλου· εἰς δὲ τὸ πλήρωμα τοῦ χρόνου ὁ Θεὸς χωρίζει ἐκ τῆς οὐσίας αὐτοῦ τὴν ὕλην, καὶ ἐπ᾽ αὐτῆς ἐνεργῶν κοσμοποιεῖ· καὶ λαμβάνων μετ᾽ αὐτῆς ἀπείρους μορφὰς, δείκνυται αὐτός τε καὶ αὐτὴ εἰς τὴν πληθὺν τῶν φαινομένων τῆς φύσεως. Τὸ Πᾶν ἑπομένως καὶ τὰ ἐν αὐτῷ ὄντα, ὡς εἰς πλημμελῆ τινα κύκλον, ἐξῆλθον ἐκ τοῦ Θεοῦ, μετέχουσι τῆς οὐσίας αὐτοῦ, καὶ εἰς αὐτὸν ἐπιστρέφουσι καὶ πάλιν ἀναγεννῶνται. Ὁ Θεὸς ἐνταῦθά ἐςι ὕλη καὶ σχῆμα, πλάςης καὶ πλάσμα, αἰτία, φαινόμενον καὶ στοιχεῖον τῶν ὄντων. Ἡ οὐσία αὐτοῦ, διαχυθεῖσα εἰς πάντα τὰ ὄντα, πληροῖ καὶ τὰ πάντα συνέχει· ὥστε ταυτότης τοῦ Θεοῦ καὶ τῆς ὕλης. Εἰς μὲν τὴν πρώτην δημιουργεῖται τὸ Ὂν ἐκ τοῦ μὴ ὄντος· εἰς δὲ τὴν δευτέραν ἀποῤῥέει τὸ Ὂν ἐξ ἄλλου ὄντος. Ἑτερότης Θεοῦ καὶ ὕλης εἰς τὴν πρώτην· ταυτότης Θεοῦ καὶ ὕλης εἰς τὴν δευτέραν. Ἐκ τῆς δοξασίας τῆς ταυτότητος παρήχθη ὁ πανθεϊσμός· ἐξ αὐτοῦ ὁ πολυθεϊσμὸς καὶ ἡ τῆς φύσεως ἀποθέωσις. Ἡ ἔννοια αὕτη τῆς ἀποῤῥοίας ἀναπτύσσεται εἰς τὰς Βέδας καὶ τὴν Γιτὰν ὡς Θεολογικὸν δόγμα καὶ φιλοσοφικὸν σύστημα, καὶ ἐπὶ τῆς δοξασίας αὐτῆς στηρίζεται πᾶσα ἡ τῶν Ἰνδῶν Θεοσοφία (1). Θεὸς ἑπομένως καὶ ὕλη εἰσὶ, κατ᾽ αὐ-

(1) Die quelle aller Indischen philosophie sind die Veda's κτλ. Adel· αὐτόθι. — Ὅρα τὴν Γιτὰν Κεφ. ιέ. §. 8, 9, 12, 13, καὶ ἐφεξῆς.

τοὺς, συναίδιοι. Ὁ δὲ θάνατος τοῦ ἀνθρώπου ἐστὶ διάλυσις σχήματος καὶ μορφῆς, ἤτοι χωρισμὸς τῆς ἀΰλου ψυχῆς ἀπὸ τοῦ σώματος (1).

Ὁ ἄνθρωπος λοιπὸν, διπλῆν ἔχων φύσιν, ἔλαβε μετὰ τοῦ φθαρτοῦ σώματος ἄφθαρτον καὶ λογικὴν ψυχήν· καὶ τοῦ μὲν ὑλικοῦ σώματος τὸ τέλος ἐστὶν ἡ διάλυσις εἰς τὰ ἐξ ὧν συνετέθη· τῆς δὲ ψυχῆς, οὔσης ἁπλῆς καὶ ἀφθάρτου, τὸ τέλος ἐστὶν ἢ ἡ αἰώνιος τιμωρία, ἢ ἡ αἰώνιος μετενσωμάτωσις, ἢ ἡ αἰώνιος ἕνωσις μετὰ τοῦ Θεοῦ καὶ ἀποθέωσις, ἀναλόγως δηλαδὴ τῶν ἐν τῷ παρόντι βίῳ πράξεων αὐτῆς. Ἐπειδὴ δὲ καὶ αὕτη ἐν ὀλίγῳ χρόνῳ περὶ τοῦ ὅλου χρόνου δικάζεται, ποῖος εἶναι ὁ σκοπὸς τῆς μετὰ τοῦ σώματος ἐφημέρου αὐτῆς σχέσεως; Ἡ προσπάθεια, λέγει ὁ Βεάσας, πρὸς ἐπιστροφὴν καὶ ἕνωσιν αὐτῆς μετὰ τοῦ ἀχράντου Θείου· ὥςε ὁ σκοπὸς καὶ τὸ τέλος τῆς λογικῆς ψυχῆς ἐστὶν ἡ πρὸς Θεὸν ἀΐδιος ἕνωσις, ταυτὸν εἰπεῖν, ἡ ἀποθέωσις αὐτῆς, καιτὸ ἄκρον ἐφετὸν (2),

(1) Essri Sur le Panthéïsme par Maret. Chap. IV. Paris. 1840. 8.

(2) Διαφωνοῦσιν δ τε Βεάσας, καὶ ὁ φιλόσοφος Μιμάνσας ὡς πρὸς τὸν τρόπον τῆς ἐπιτεύξεως τοῦ ἄκρου ἐφετοῦ, καὶ ὡς πρὸς αὐτὸ τὸ ἄκρον ἐφετόν· Ὁ μὲν Βεάσας δοξάζει ἄκρον ἀγαθὸν τὴν μετὰ τοῦ Θεοῦ ἀΐδιον ἕνωσιν τῆς ψυχῆς. Τὴν ἕνωσιν ταύτην ἀποκτᾷ, λέγει, τις διὰ μόνης τῆς θεωρίας· ἀναβαίνει δὲ εἰς θεωρίαν τις διὰ τῆς πρακτικῆς ἀρετῆς. Ἡ ἀρετὴ ἄρα εἶναι ἀναγκαία πρὸς ἐπιτυχίαν τῆς θεωρίας, δι' ἧς μόνης ἀξιοῦται τῆς πρὸς Θεὸν ἑνώσεως.

Ὁ δὲ Μιμάνσας δοξάζει ἀρκοῦσαν μόνην τὴν ἀρετὴν, δι' ἧς, λέγει, ἀπολαμβάνει τις τά τε οὐράνια καὶ ἐπίγεια ἀγαθά. Καθότι ὁ ἐνάρετος μετὰ θάνατον δὲν κολάζεται, ὡς μὴ πράξας τὴν κακίαν, ἀλλ' ἀναβαίνει εἰς ἓν μέρος τοῦ οὐρανοῦ· ἀφοῦ δὲ ἐκεῖ ἐντρυφήσῃ ἀναλόγως τῆς ἐν τῷ παρόντι βίῳ ἀρετῆς, καταβαίνει πάλιν εἰς τὴν γῆν καὶ ἐνσωματοῦται. Διὰ δὲ τῆς ἀγαθοεργίας πάλιν ἀναβαίνει εἰς οὐρανὸν, καὶ πάλιν καταβαίνει, καὶ πάλιν, πολλάκις, καὶ αἰωνίως. Τοῦτο δ' ἐστι, παρὰ τῷ Μιμάνσᾳ, τὸ ἄκρον ἐφετὸν, ὅτι ἐντρυφᾷ καὶ ἐν

ὅπερ ἐπιτυχεῖν τις δύναται διὰ μόνης τῆς θεωρίας αὐτοῦ τοῦ Ὑψίστου· φθάνει δέ τις εἰς αὐτὴν τὴν θεωρίαν διὰ τῆς ἀπαθείας, τῆς διηνεκοῦς μελέτης καὶ τῆς πράξεως ἐν γένει τῆς ἀρετῆς. Ἡ ἀρετὴ ἄρα ἐστὶν ἀναγκαία, ὡς κλίμαξ, φέρουσα εἰς θεωρίαν, δι' ἧς μόνης, ὡς ἐῤῥέθη, κτᾶται ἡ ἀθανασία.

Ὁ ἀνώτατος οὖν ὅρος τῆς θεοσοφίας καὶ θεολογίας, τὸ πάνυ ἀγαθὸν, εἶναι ἡ πρὸς Θεὸν ἕνωσις. Καὶ καθὼς τὸ σῶμα διαλυόμενον ἐπιστρέφει εἰς τὴν ὕλην, ἐξ ἧς ἐλήφθη, οὕτω καὶ ἡ ἄϋλος οὐσία, ἡ ἐν θεωρίᾳ βιώσασα, χωριζομένη τοῦ σώματος, ἐπιστρέφει καὶ ἑνοῦται μετὰ τῆς ἁγνῆς θείας οὐσίας, ἐξ ἧς ἀποῤῥέει. Ὁ σκοπὸς ἑπομένως τῆς ἐν τῷ παρόντι βίῳ διατριϐῆς τῆς λογικῆς ψυχῆς, ἐστὶν ἡ θεωρία· τέλος δὲ, ἡ μετὰ τοῦ Θεοῦ ἀΐδιος αὐτῆς ἕνωσις.

Ἐπειδὴ δὲ ἡ θεωρία εἶναι ἄφευκτος καὶ ἐνταῦθα δύσκολος, ἀνάγκη πᾶσα ὅπως ἀκολουθήσῃ ἕκαστος τὴν πρὸς θεωρίαν ἄγουσαν ὁδὸν, ἤτοι τὴν πρακτικὴν ἀρετὴν, ἥτις οὐδὲν ἕτερόν ἐστιν, εἰμὴ ἡ ἐκπλήρωσις τοῦ καθήκοντος, καὶ πάντων τῶν νομίμων, ὅσα ἐνετείλατο ὁ Θεὸς εἰς τὰς ἱερὰς βίϐλους δι' ἑκάστην τῶν ἐν Ἰνδίᾳ φυλῶν. Καὶ ἐπειδὴ νόμος καὶ καθῆκον τοῦ Ξατροῦ, ἢ πολεμιστοῦ, ἐστὶν ὁ δίκαιος πόλεμος, καὶ τοιοῦτος εἶναι ὁ ἡμέτερος, ἐγείρου καὶ σὺ, ὦ Ξατρῆ Ἀρζούνα, καὶ πολέμει, μὴ φειδόμενος τὴν φθαρτὴν σάρκα, ἥτις ἀεννάως ἀλλάσσει μορφήν. Οὕτως ἐνεργῶν ἐντὸς τοῦ νόμου καὶ τῆς θείας

οὐρανῷ καὶ ἐπὶ γῆς· ὥστε ὁ μὲν θεωρεῖ ἄκρον ἀγαθὸν τὴν πρὸς Θεὸν ἀΐδιον ἕνωσιν· ὁ δὲ τὴν ἀΐδιον τρυφὴν καὶ ἡδονήν.

ἐντολῆς (1), λέγει ὁ Βραχμὰν Βεάσας, ἂν δὲν ἀξιωθῇς τῆς μετὰ τοῦ Θείου ἑνώσεως, ὡς μὴ θεωρητικὸς, ἀναβαίνεις εἰς τὸν οὐρανὸν τοῦ Ἴνδρα· καὶ ἀφοῦ ἐντρυφήσῃς ἐν αὐτῷ ἀναλόγως τῆς ἧς ἔπραξας ἐν τῷ παρόντι βίῳ ἀρετῆς, πάλιν καταβαίνεις ἐπὶ τῆς γῆς καὶ ἐνσωματοῦσαι εἰς βελτίονα κατάστασιν. Καὶ μετὰ τὸ ποιῆσαι θυσίας καὶ ἀγαθοεργίας πάλιν ἀναβαίνεις εἰς οὐρανὸν, καὶ πάλιν καταβαίνεις, καὶ ἐφεξῆς οὕτως· οὐχὶ θεωρῶν τὸ τοιοῦτον ὡς τὸ ἄκρον ἐφετὸν, ὥς τινες νομίζουσιν (ὁ Μιμάνσας)· ἀλλ' ὅτι οὕτως, ἐκπληρῶν τὴν ἐντολὴν τοῦ Θεοῦ, καὶ τὸ καθῆκον τῆς σεαυτοῦ φυλῆς, καὶ διώκων διὰ τῆς πρακτικῆς τὸν βαθμὸν τοῦ θεωρητικοῦ, ἴσως ἐπιτύχῃς αὐτοῦ ἐπὶ τέλους εἴς τινα τῶν μετεμψυχώσεων, καὶ τότε μόνον ἑνούμενος ἁγνὸς μετὰ τοῦ ἁγνοῦ Θείου, διαμένεις ἐν αϊδίῳ ὀλβιότητι.

Τούτων οὕτως ἐχόντων, ἡ μεμολυσμένη καὶ ἡ πλήρης ῥύπου ἁμαρτιῶν ψυχὴ οὐ δύναται ἑνωθῆναι μετὰ τοῦ

(1) Ὁ ἀναγνώστης παρατηρεῖ ἐνταῦθα, καὶ πανταχοῦ τὸ Βραχμανικὸν συμφέρον. Καθότι οἱ Βραχμᾶνες οὐδὲν ἐργάζονται· ἡ φυλὴ τῶν Ξατρῶν πολεμᾷ ὑπὲρ αὐτῶν· ἡ φυλὴ τῶν Βαϊσῶν γεωργεῖ ὑπὲρ αὐτῶν· ἡ δὲ φυλὴ τῶν Σούδρων δουλεύει ὑπὲρ αὐτῶν· εἰς ὅλους αὐτοὺς ὑπόσχονται οἱ Βραχμᾶνες μετεμψύχωσιν, παλιγγενεσίαν καὶ ἀθανασίαν, ἂν ἕκαστος πράττῃ τὰ ἐντελλόμενα εἰς τὴν ἑαυτοῦ φυλὴν, ἤτοι ἂν ἐνεργῇ ὑπὲρ τῶν Βραχμάνων, τῶν ὁποίων τὸ καθῆκον εἶναι ἡ ἐγκράτεια, αἱ θυσίαι, ἡ ἀνάγνωσις τῶν Βεδῶν, καὶ ἐν ἑνὶ λόγῳ, ἡ ἀργία· ἐξ οὗ γίνεται δῆλον, ὅτι αἱ Βέδαι καὶ τὰ ἱερὰ βιβλία τῶν Ἰνδῶν εἰσὶν ἔργα ἀνθρώπου, ἤτοι τῶν Βραχμάνων. Τὸ δὲ ἱερὸν καὶ θεῖον Εὐαγγέλιον, ὡς θεόπνευστον, οὐκ ἐντέλλεται τὸ συμφέρον οὐδεμιᾶς προνομιούχου φυλῆς, ἀλλὰ τὴν σωτηρίαν τῆς ψυχῆς ἑκάστου, τὴν ὁποίαν ἀποκτᾷ τις διὰ τοῦ ἱεροῦ βαπτίσματος, τῆς ἐντελοῦς πίστεως, διὰ τῆς πρὸς τὸν πλησίον ἀδελφικῆς ἀγάπης, καὶ τῆς πρὸς τὸν Θεὸν ἀκραιφνοῦς ἀφοσιώσεως καὶ λατρείας. Οὕτω βιώσας ὁ εὐσεβὴς χριστιανὸς μεταβαίνει εἰς τὰς αἰωνίους μονὰς, καὶ μετὰ τῶν δικαίων ἀναπαύεται ἐν θείᾳ καὶ αϊδίῳ ἀγαλλιάσει.

ἀχράντου Θείου· « μὴ καθαρῷ γάρ, λέγει καὶ ὁ Πλά-
» των, καθαροῦ ἐφάπτεσθαι οὐ θεμιτόν» ὥστε ἀναγκαία καὶ ἄφευκτός ἐστιν ἡ καθαριότης τῆς ψυχῆς. Καθαρίζεται δὲ ἡ ψυχὴ χωριζομένη τοῦ σώματος, ἤγουν τῶν αἰσθήσεων καὶ τῶν αἰσθητῶν, τῶν ἐπιθυμιῶν καὶ ὀρέξεων, τῆς φαντασίας καὶ τῶν παθῶν, ἅτινα ταράττουσι τὸν νοῦν, παρασύρουσι τὴν ψυχήν, ἐμποδίζουσι τὴν ἥσυχον μελέτην τῆς θείας γνώσεως, τῆς θεοφροσύνης καὶ τῆς θεωρίας. Ὁ δὲ χωρισμὸς οὗτος τῆς ψυχῆς ἀπὸ τοῦ σώματος ἐστὶν ἡ νέκρωσις τῶν παθῶν καὶ παντὸς τοῦ σωματοειδοῦς, καὶ ἡ ἀπελευθέρωσις τῆς λογικῆς οὐσίας.

Ὅθεν ἐκ τοῦ βαθμοῦ τῆς νεκρώσεως τῶν παθῶν, ἤτοι τῆς ἀπαλλαγῆς τῆς ψυχῆς ἀπὸ τοῦ σώματος, καὶ τῆς κυριότητος αὐτῆς ἐπὶ τῶν αἰσθήσεων καὶ τῶν αἰσθητῶν, εἰς τρία εἴδη διαιροῦνται οἱ ἄνθρωποι· 1ον εἰς φαύλους, 2ον εἰς πρακτικοὺς ἐναρέτους· 3ον εἰς καθαροὺς θεωρητικούς.

1ον ἡ ψυχὴ τοῦ φαύλου, ἡ μετὰ τοῦ σώματος ἑνωθεῖσα, ἡ τὰς ἐπιθυμίας αὐτοῦ δουλοπρεπῶς ὑπηρετήσασα καὶ ἕνεκα αὐτοῦ μέχρι τέλους εἰς τὴν κακίαν διαμείνασα, αὐτή, λέγω, ὡς ἀκάθαρτος, οὐκ ἀξιοῦται τῆς μετὰ τοῦ Θείου ἑνώσεως, οὐδ᾽ εἰς αὐτὸν τὸν οὐρανὸν τοῦ Ἴνδρα ἀναβαίνει· ἀλλ᾽ ἢ διαμένει αἰωνίως ἐν τῷ ᾅδῃ, ἢ ἐνσωματοῦται πλανωμένη εἰς ἀκαθάρτων ζώων, καὶ σαρκοβόρων θηρίων, καὶ δαιμόνων εἴδη.

2ον Ἡ δὲ τοῦ ἐναρέτου πρακτικοῦ ψυχή, ἡ ἀπομακρυνθεῖσα μὲν τῆς ὁδοῦ τῆς κακίας, ἡ τὰ νόμιμα δὲ καὶ τὴν ἀρετὴν πράξασα, ἀλλ᾽ εἰς τὸν βαθμὸν τῆς ἀπαθείας

καὶ θεωρίας μηδόλως φθάσασα, αὐτὴ, λέγουσιν, οὔτε ἐν τῷ ᾅδῃ πορεύεται, οὔτε μετὰ τοῦ Θείου ἑνοῦται· ἀλλ' ἀπέρχεται εἰς τὸ κατώτερον μέρος τοῦ οὐρανοῦ τοῦ Ἴνδρα, καὶ μετά τινα ἐκεῖ διατριβὴν καταβαίνουσα πάλιν εἰς τὴν γῆν ἐνσωματοῦται εἰς εἶδος ἡμέρων ζώων, ἢ μετρίου, ἢ ἐνδόξου ἀνθρώπου (ἀναλόγως δηλονότι τῆς ἀρετῆς) καὶ διὰ νέων ἀγαθοεργιῶν πάλιν ἀναβαίνει καὶ πάλιν καταβαίνει, ἕωσοῦ ἐπιτύχῃ διὰ τῆς θεωρίας τὴν αἰώνιον εἰρήνην καὶ τὴν μετὰ τοῦ Θείου ἕνωσιν αὐτῆς.

3ον Ἡ δὲ ψυχὴ τοῦ θεωρητικοῦ, ἡ ἐν ὅλῳ τῷ βίῳ καὶ μέχρι τῆς τελευταίας στιγμῆς διαμείνασα ἐν θεωρίᾳ τοῦ Ὑψίστου, καθαρὰ, ἐγκρατὴς καὶ ἀπαθὴς, ἡ κυριεύσασα τὰς αἰσθήσεις· ἡ νεκρώσασα τὰ πάθη, τὰς ἀλόγους ὀρέξεις, τὰς ἐπιθυμίας καὶ αὐτὴν τὴν φαντασίαν καὶ μνήμην τῆς σωματικῆς ἡδονῆς· ἡ τελέσασα τὴν ἀρετὴν καὶ μηδέποτε παντάπασιν εἰς τὸν καρπὸν τῶν ἔργων καὶ τὴν ἀμοιβὴν τῶν πράξεων ἀποβλέψασα· ἡ τὸν Θεὸν ἐρῶσα, καὶ εἰς αὐτὸν ἀείποτε ἀφορῶσα, καὶ οὐδέποτε ἀπ' αὐτοῦ ἀπομακρυνθεῖσα· αὐτὴ, λέγουσιν, ἐπιστρέφουσα ἑνοῦται μετὰ τοῦ ἀχράντου Θείου, καὶ μετ' αὐτοῦ ἀϊδίως διαμένουσα ἀποθεοῦται.

Γενοῦ λοιπὸν καὶ σὺ, ὦ Ἀρζούνα, θεωρητικός· εἰ δὲ καὶ τοῦτό ἐστί σοι δύσκολον, πράττε τὴν ἀρετὴν καὶ ὅσα ἐνετείλατο ὁ Θεὸς διὰ τῶν Βεδῶν εἰς τὴν σὴν φυλὴν, πρὸς τὸν Θεὸν ἀφορῶν, καὶ μηδόλως εἰς τὸν καρπὸν καὶ τὴν ἀμοιβὴν τῶν ἔργων σου ἀποβλέπων. Ταύτην τὴν ὁδὸν πορευόμενος, ἢ φθάνεις εἰς τὴν θεωρίαν, ἢ ἀξιοῦσαι τῆς παλιγγενεσίας, δι' ἧς δύνασαι ἐπὶ τέλους ἵνα ἐπιτύχῃς βελτίονος καταστάσεως, ἤτοι τῆς ἀθανασίας. Οἱ γὰρ

θεόφρονες θεωρητικοί, φθάσαντες εἰς ἐντελῆ θεογνωσίαν καὶ τυχόντες τοῦ Θεοῦ, οὐ προσδοκοῦσιν ἔτι παλιγγενεσίαν, τὴν οὖσαν δοχεῖον ὀδυνῶν καὶ πρόσκαιρον· διότι πάντες οἱ ἐν οὐρανῷ καὶ ἐν γῇ πάλιν καὶ πολλάκις γεννῶνται καὶ μετασωματοῦνται· τοῖς δὲ τυχοῦσι τοῦ Θεοῦ, οὐχ ἔτι παλιγγενεσία γίνεται (1).

Μεταβαίνων ἀκολούθως ὁ Βεάσας εἰς ἕτερα ἀντικείμενα, ἐξηγεῖ πρότερον θεολογικούς τινας ὅρους, ἀναιρῶν ἐν παρόδῳ τὰς πρὸ αὐτοῦ δοξασίας τῶν θεοσόφων Μιμάνσα, Καπήλα κτλ.

Βράχμα, λέγει, ἐστὶ τὸ ἄφθαρτον θεῖον.

Ἀδδειβούταμ, ἡ φθαρτὴ οὐσία.

Ἀδεάτμαμ, ἡ ζωτικὴ ψυχή.

Ἀδδειδάϊββαμ ἡ ψυχὴ τοῦ παντός.

Ἀδδειγέγνα, αὐτὸς ὁ διακοσμῶν Βισνοῦς.

Κάρμα, πᾶν εἶδος θυσίας.

Ἀφθαρτος ὅρος, ἡ θεωρία.

Ἡ δὲ θεογνωσία ἐστὶν ἡ βασιλὶς τῶν μαθήσεων, ἣν ἀποκτᾷ τις διὰ τῆς ἐν πίστει καὶ πεποιθήσει σπουδῆς καὶ ἀφοσιώσεως πρὸς τὸ Θεῖον, καὶ δι' ἧς ὑφορᾶται καὶ γινώσκεται ὁ Θεός, ὅτι ἐν πᾶσι τοῖς οὖσίν ἐςι, καὶ πάντα τὰ ὄντα εἰσὶν ἐν αὐτῷ. Καθότι, λέγει ὁ Βισνοῦς, ἐγώ εἰμι ὁ αἰώνιος σπόρος ὅλων τῶν ὄντων· ἐγώ εἰμι ὁ πατήρ, ἡ μήτηρ, ὁ προπάτωρ καὶ ὁ χορηγὸς τοῦ Παντός· ἐγώ εἰμι καὶ ἡ θυσία, καὶ τὸ πῦρ τῆς θυσίας, καὶ ἡ σπονδὴ καὶ τὸ θυόμενον· ἐγὼ ἡ ζωὴ καὶ ὁ θάνατος· ἡ γέννησις καὶ ἡ φθορά· ἡ ῥίζα, ὁ σπόρος, τὸ ἔρεισμα, ἡ

(1) Γιτὰ Κεφ. Η. Διστίχ. 15—16.

ἀρχὴ, τὸ μέσον, καὶ τὸ τέλος πάντων τῶν ὄντων (1).

Γ ν ῶ σ ι ς ἐντελής ἐστιν ἡ διακρίνουσα τὴν ἄϋλον ψυχὴν ἀπὸ τοῦ ὑλικοῦ σώματος. Τοῦτο μέν ἐστι φθαρτὸν, ἐκείνη δὲ ἀνώλεθρος, θεία, καὶ ὑπερτέρα τοῦ σώματος. Ἀλλ' οὖσα ἐν τῇ ὕλῃ, αἰσθάνεται τὰ ἀποτελέσματα τῆς ὕλης· ἐν δὲ τῷ συνδέσμῳ τῶν δύο οὐσιῶν, κυριευομένη μὲν ἀπὸ τὰς αἰσθήσεις, μολύνεται· κυριεύουσα δ' αὐτὰς, ἁγιάζεται.

Σ ύ ν δ ε σ μ ο ς τῆς ψυχῆς μετὰ τῆς ὕλης γίνεται 1ον ἡ διὰ τῆς ἀληθείας καὶ γνώσεως· 2ον ἡ διὰ τῆς ἐπιθυμίας καὶ τῆς ὀρέξεως· 3ον ἡ διὰ τῆς ἀπάτης καὶ τῆς ἀνοίας. Καρπὸς τῆς πρώτης ὑπερτερούσης ἐστὶν ἡ ἀλήθεια, ἡ ἐγκράτεια καὶ ἡ ἀθανασία· τῆς δὲ δευτέρας ὑπερτερούσης, ἡ ἡδυπάθεια καὶ ἡ παλιγγενεσία· τῆς δὲ τρίτης ὑπερτερούσης, ἡ ἄνοια, ἡ φαυλότης καὶ ὁ ᾅδης.

Τριττή ἐστιν ἐν γένει ἡ προθυμία τῶν ἀνθρώπων·

---

(1) Αὐτὸ τοῦτο εὑρίσκεται καὶ ἐν τοῖς Ὀρφικοῖς αὐταῖς λέξεσι·

Ζεὺς πρῶτος γένετο, Ζεὺς ὕστατος ἀργικέραυνος·
Ζεὺς κεφαλὴ, Ζεὺς μέσσα· Διὸς δ' ἐκ πάντα τέτυκται.
Ζεὺς πυθμὴν γαίης τε καὶ οὐρανοῦ ἀστερόεντος.
Ζεὺς πνοὴ πάντων, Ζεὺς ἀκαμάτου πυρὸς ὁρμή.
Ζεὺς πόντου ῥίζα, Ζεὺς ἥλιος ἠδὲ σελήνη κτλ.

Ταῦτα δὲ πάντα ἐστὶν οὐκ ἄλλο τι, πλὴν ὁ Θεὸς, ὡς καὶ ὁ Πλάτων φησίν. Ὁ μὲν δὴ Θεὸς, ὥσπερ ὁ π α λ α ι ὸ ς λ ό γ ο ς, ἀρχὴν καὶ τελευτὴν καὶ μέσα τῶν ὄντων ἁπάντων. (Ἀρις. αὐτ.) Ὁ παλαιὸς οὗτος λόγος, ὡς καὶ ὁ Πλάτων ἀναφέρει ἐν Φαίδωνι, ἐστὶν ἀναντιῤῥήτως ἡ Πυθαγόρειος, ἡ Ὀρφικὴ, ἡ Αἰγύπτιος, ἡ Ἰνδικὴ, Χαλδαϊκὴ καὶ Ἀσιατικὴ δοξασία τοῦ πανθεϊσμοῦ, ἥτις ἀπομακρυνθεῖσα ἀπὸ τὴν ὕψιστον ἔννοιαν τοῦ ἑ ν ὸ ς Θ ε ο ῦ, τοῦ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγόντος δημιουργοῦ, τῶν πρώτων πατριαρχῶν τῆς Ἰουδαίας, καὶ τὴν μετὰ ταῦτα διδασκαλίαν τοῦ θείου καὶ ἱεροῦ Εὐαγγελίου, ὑπέπεσεν, ἐκ τῆς ἡδυπαθείας ὠθουμένη, εἰς τὸν ὑλοθεϊσμὸν, ἐκ τούτου εἰς τὸν πανθεϊσμὸν, καὶ τοῦ πολυθεϊσμοῦ τὴν μωρολογίαν καὶ πλάνην.

Σατβικὴ, Ῥαγικὴ, Ταμικὴ, ἤτοι λογικὴ, ἐπιθυμητικὴ, καὶ εὐήθης· ἐν ὁποίᾳ τούτων εἰσὶν οἱ ἄνθρωποι πρόθυμοι, τοιοῦτοι καὶ λέγονται.

Ὁ δὲ ἀπαθὴς θεωρητικὸς, ὁ νεκρώσας τὰ πάθη καὶ τὸν κόσμον νικήσας, χωρίζεται τοὐντεῦθεν ἀπὸ πάντα σωματικὸν δεσμόν· οὗτος θεωρεῖ τὸν Θεὸν καὶ ἑνοῦται μετ' αὐτοῦ.

Δύο εἰσὶ τὰ ἀρχικὰ ὄντα· τὸ ὑλικὸν καὶ τὸ ἄϋλον· ἔςι δὲ καὶ τρίτον, ὃ καλεῖται Παραμάτμα, ἤτοι ἡ ὑπερούσιος τοῦ Θεοῦ δύναμις, ἡ τὰ πάντα ζωοποιοῦσα.

Ἀκολούθως ὁ Ἀρζούνας, ζητήσας καὶ λαβὼν τὴν χάριν, ὅσον ἔνεςι τῇ σωματικῇ ὁράσει, ἴδε τὸν Θεὸν Βισνοῦν πολυπρόσωπον, πολυόμματον, καὶ ὑπέρλαμπρον· πάντας δὲ τοὺς δευτέρους θεοὺς, καὶ ἅπαντα τὰ ὄντα πολυτρόπως καὶ ἀῤῥήτως συνόντα ἐν τῷ σώματι τοῦ Θεοῦ κτλ.

Ὁ μὲν Ἀρζούνας ἰδὼν καὶ πιστεύσας ἀνέστη εἰς πόλεμον.

Ἐγὼ δὲ, ὦ βασιλεῦ, λέγει ὁ Σανζαίας, ἀκούσας, χάριτι τοῦ Βεάσα, τῆς μυστικῆς διαλέξεως, φρίττω· ἀναπολῶν δὲ τὴν ὑπερφυᾶ μορφὴν τοῦ Κρισνᾶ τρέμων ἐξίσταμαι. Ἔνθα οὖν ἐστιν ὁ Κρισνᾶς, ἐκεῖ καὶ τὸ δίκαιον, ἡ νίκη, καὶ πᾶν ἀγαθόν (1).

Τινὲς ἀσεβεῖς φιλοσώματοι, λέγει ὁ Βεάσας, φρο-

(1) Ἀπορίας ἄξιον πῶς μετὰ τοιαύτην πρόῤῥησιν καὶ πεποίθησιν ἐσυγχώρησεν ὁ Δρυταράςρας εἰς τὸν ἀδικοῦντα υἱόν του Δουριοδάναν τὸν κατὰ τῶν Πανδοΐδῶν πόλεμον, εἰς ὃν ἐγνώριζεν, ὅτι ἀπολέσει, ὡς τῷ ὄντι ἀπώλεσε, ζωὴν καὶ βασιλείαν! Ἐκ τούτου καὶ ἐκ πολλῶν ἄλλων εἰκάζεται ἡ διαφορὰ τῆς ἐποχῆς τούτου τοῦ ἐπεισοδίου καὶ τοῦ ἐπικοῦ ποιήματος τῆς Μαχαβαράτας. — Αὕτη μὲν ἀρχαία· τὸ δὲ πολλὰ νεώτερον, ὡς ἀναιροῦν τὰ φιλοσοφικὰ συστήματα τοῦ Μιμάνσα, τοῦ Καπίλα καὶ ἄλλων θεοσόφων.

νοῦντες αἴδιον τὴν ὕλην, καὶ τὸ Πᾶν αὐτόματον, ἀφιεροῦνται εἰς τὴν ἀπόλαυσιν τῶν ἡδονῶν, μηδόλως φροντίζοντες περὶ τῆς μελλούσης ζωῆς. Ἄλλοι δὲ δεισιδαίμονες, παρεξηγοῦντες τὰς Βέδας, καὶ τὸ πνεῦμα αὐτῶν ἀγνοοῦντες, περιορίζονται εἰς τὴν ἁπλῆν καὶ μηχανικὴν τῶν θυσιῶν καὶ ἱεροπραξιῶν ἐκτέλεσιν, ἢ εἰς ἀνωφελεῖς καὶ ματαίας νεκρώσεις τῶν παθῶν καὶ σκληραγωγίας τοῦ σώματος· ἀμφότεροι οὗτοί εἰσιν ἐκτὸς τῆς εὐθείας ὁδοῦ. Μόνον οἱ ὀρθῶς δοξάζοντες λατρεύουσι τὸν Θεὸν, ἐκπληροῦντες ἀκριβῶς τὸ ἑ α υ τ ῶ ν κ α θ ῆ κ ο ν, κατὰ τὸν νόμον, ὃν ἐνετείλατο ὁ Θεός· πράττουσι δ᾽ αὐτὸ ὡς καθῆκον ἱερὸν, εἰς τὸν Θεὸν ἀφορῶντες, καὶ οὐχὶ εἰς ἀμοιβήν τινα ἐλπίζοντες.

Ἕνεκα τούτου ὁ Βεάσας ἐκήρυξεν ἀντὶ τοῦ αὐτομάτου Παντὸς, τὸν ὕψιστον θεὸν Βράχμαν, γεννήσαντα ἐξ αὐτοῦ τὴν ὕλην, καὶ μετ᾽ αὐτῆς ποιήσαντα τὰ πάντα. Δὲν ἐχώρισε τὸν Θεὸν ἀπὸ τὴν ὕλην· ἀλλὰ διέκρινε τὸ δόγμα ἀπὸ τὴν ἠθικὴν πρᾶξιν, καὶ τὴν θεωρίαν τοῦ Ὑψίστου, ἀπὸ τὴν πρακτικὴν ἀρετὴν, βεβαιῶν συγχρόνως, ὅτι ἡ μὲν θεωρία ἑνόνουσα τὸν ἄνθρωπον μετὰ τοῦ Θεοῦ, ἐστὶ κρείττων πάσης ἠθικῆς πράξεως· ἄνευ δὲ τῆς ἠθικῆς ἀρετῆς δὲν ἀποκτᾶται ἡ θεωρία· ὥστε ὁ πιστεύων, λέγει, εἰς τὸ δόγμα, ἐκπληροῖ πρῶτον τὸ ἑαυτοῦ καθῆκον (1)· ἐκπληροῖ δ᾽ αὐτὸ ἕνεκα τοῦ Θεοῦ, καὶ οὐχὶ

(1) Ἕκαστος εἶναι υἱὸς, πατὴρ, πολίτης, σύζυγος, ἀδελφὸς, φίλος, ἄνθρωπος· ἔχει θρησκείαν, ἠθικὴν, κοινὰ καὶ ἰδιαίτερα χρέη, ἱερὰ καὶ ἀνθρώπινα καθήκοντα ἐν τῷ βίῳ τούτῳ· ἀνάγκη λοιπὸν ὅπως, ἐκπληρῶν ἀκριβῶς ταῦτα πάντα, ὑποτασσόμενος εἰς τὴν ἐντολὴν τοῦ Θεοῦ ἄνευ ἐλπίδος ἀμοιβῆς, φθάσῃ διὰ τῆς ἀρετῆς, μετριότητος καὶ τῆς μελέτης εἰς τὴν θεωρίαν τοῦ Ὑψίστου, δι᾽ ἧς ἀποκτᾶται ἡ πρὸς Θεὸν αἴδιος ἕνωσις· τοῦτο εἶναι τὸ σύστημα τοῦ θεοσόφου Βεάσα.

ἕνεκα ὁποιασδήποτε ἀμοιβῆς, ὅ ἐστιν ἔφθασεν ὡς πρὸς τὴν ἠθικὴν, ἔνθα ἠδύνατο πραγματικῶς ἵνα φθάσῃ ἡ διάνοια σεμνοπρεποῦς καὶ ἐναρέτου ἀνδρὸς, ἄνευ τῆς βοηθείας τῆς θείας καὶ ἀλανθάστου ἀληθείας. Δι' αὐτὸν τὸν λόγον παρουσιάζεται ἀμέσως ὁ Γόρδιος δεσμὸς, ἤγουν τὸ δυσεξήγητον ἐπιχείρημα καθ' ὅλων, ἐν γένει, τῶν πανθεϊστῶν.

Καθότι, κηρύξας τὸν ὕψιστον θεὸν Βράχμαν καὶ τὴν ἀρχέγονον πρὸς κοσμοποιΐαν ὕλην ἀποῤῥέουσαν ἀπὸ τὴν οὐσίαν αὐτοῦ, ὑλοποίησε τὸν Θεὸν αὐτοῦ, ἢ ἐθεοποίησε τὴν ἀρχέγονον ὕλην. Τὸ αὐτὸ δοξάζουσι καὶ οἱ Πυθαγόρειοι· ἀπὸ τὴν ἀπόλυτον καὶ ἄναρχον Μονάδα γεννᾶται, λέγουσιν, ἡ ἀόριστος Δυὰς, καὶ ἐξ αὐτῶν οἱ ἀριθμοὶ καὶ πάντα τὰ ὄντα· ὥστε ἡ ὕλη ἐστὶ τροποποίησις τῆς πρώτης ἀρχῆς, ἐξ ἧς ἀποῤῥέει καὶ γεννᾶται.

Ἀλλ' ὁ ὕψιστος θεὸς Βράχμας ἐν τῇ ἀϊδίῳ αὐτοῦ εἰρήνῃ ἐστὶ παντέλειος, καὶ τὸ Ἀγαθόν· ἐν δὲ τῇ ἐμφανήσει αὐτοῦ εἰς τὸ ὂν καὶ τὸ φαινόμενον, ἀτελὴς καὶ τὸ Κακόν; ὁ Θεὸς πνεῦμα ἐστὶν ἀγαθός; ὁ δὲ Θεὸς Πνεῦμα καὶ ὕλη κακός; εἰς μὲν τὴν αἰτίαν ἀγαθὸς, εἰς δὲ τὸ ἀποτέλεσμα κακός; Καθότι ἡ ὕλη, εἰς ἣν ἀποδίδεται ἡ ἀπάτη, τὸ πλῆθος, καὶ τὸ κακὸν, ἀποῤῥέει καὶ γεννᾶται ἀπὸ αὐτὴν τὴν οὐσίαν τοῦ θεοῦ Βράχμα, ὅπερ ἐστὶν ἄτοπον.

Ὁ Βεάσας λῦσαι θέλων τὴν ἀπορίαν, λέγει, ὅτι τὸ κακόν ἐστι περὶ τὴν ὕλην, ὡς ὁ καπνὸς περὶ τὸ πῦρ. Ἡ ὕλη, ἢ μᾶλλον εἰπεῖν τὸ παγκόσμιον ἐγὼ, ἀποῤῥέουσα ἀπὸ τὸν Θεὸν, ἔλαβε, κατ' αὐτὸν, τρεῖς ποιότητας· τὴν ἀλήθειαν (Σάτβαν) τὴν ἐπιθυμίαν (Ῥάγαν), καὶ τὴν ἄγνοιαν (Τάμαν). Αἱ ποιότητες αὗται ἀλληλομάχονται ἀπαύστως

εἰς τὴν φύσιν, καὶ πολεμοῦσαι ἀλλήλαις ποτὲ μὲν ἰσοσταθμοῦσι, ποτὲ δὲ ὑπερτερεῖ ἡ μία τῆς ἄλλης. Κατὰ δὲ τὴν ὑπεροχὴν ταύτης ἢ ἐκείνης, παρουσιάζονται τὰ φαινόμενα τοῦ φυσικοῦ καὶ ἠθικοῦ κόσμου. Ἀλλ' ὁ Θεὸς, ὡς ἀμετάβλητος, εἶναι ἐκτὸς τοῦ φαινομένου· οὗτος, δημιουργήσας τὸ πᾶν, πληροῖ μὲν τὰ πάντα, κεῖται δ' ἐκτὸς τῆς μεταβολῆς τῶν ἀλληλομαχομένων ποιοτήτων καὶ τῶν ἐξ αὐτῶν φαινομένων. Ἀνάγκη λοιπὸν, συμπεραίνει ὁ Βεάσας, ἵνα ὑπερισχύσῃ ἡ ἐν ἡμῖν θεία οὐσία, καὶ μετ' αὐτῆς ἡ πρώτη ποιότης, ἤτοι ἡ ἀλήθεια· αὐτὴ δὲ, καταβαλοῦσα τὰς δύο ἄλλας, ἤτοι τὴν ἐπιθυμίαν καὶ ἄγνοιαν, φέρει ἡμᾶς ἀγνοὺς καὶ ἡγιασμένους εἰς τὸν κόλπον τοῦ ὑψίστου Βράχμα.

Τὸ συμπέρασμα τοῦ Ἰνδοῦ θεοσόφου ἔσται ὀρθὸν, ἂν καὶ ἡ ἀρχὴ ἦν τοιαύτη. Καθότι καὶ ὁ καπνὸς περιέχει μέρος τοῦ πυρὸς, καὶ τὸ φαινόμενον τὴν ποιότητα τῆς ὕλης, καὶ ἡ ὕλη, ἀποῤῥέουσα ἀπὸ τὴν οὐσίαν τοῦ Θεοῦ, Θεὸν, τὴν ἀπάτην καὶ τὸ κακὸν, ἀποδιδόμενα εἰς τὴν ὕλην· ἑπομένως ἡ φύσις τοῦ καλοῦ καὶ κακοῦ μένει ἀδιόριστος, καὶ ἡ διαχωρίζουσα γραμμὴ ἀκατάληπτος· ὅθεν δυοῖν θάτερον, ἢ κακὸν δὲν ὑπάρχει εἰς τὴν ὕλην, ἢ ἡ ὕλη δὲν εἶναι ἀπόῤῥοια τῆς οὐσίας τοῦ Θεοῦ, καὶ Θεός. Τοῦτο ἀνατρέπον τὴν βάσιν τοῦ πανθεϊσμοῦ, ἐπικυροῖ τὴν παρ' ἡμῖν πρεσβευομένην ἀλήθειαν, ὅτι τὸ κακὸν οὔτε ὄν ἐστιν, οὔτε ἐξ ὄντος, οὔτε ἐν τοῖς οὖσιν, οὔτε ὄντος γενεσιουργόν· ἀλλ' ἡ τοῦ ἀγαθοῦ ἀπουσία καὶ ϛέρησις καλεῖται κακὸν, καθὼς ἡ ἔλλειψις τοῦ φωτὸς καὶ τῆς θερμότητος καλεῖται σκότος καὶ ψύχος, τουτέστιν οὐχὶ κατὰ δύναμιν καὶ αὐθυπαρξίαν, ἀλλὰ κατ' ἀσθένειαν καὶ ἔλλειψιν.

Τὸ Ἀγαθὸν μόνον ὑπάρχει, καὶ πάντα τὰ ὄντα δι' αὐτοῦ εἰσί, συνέχονται καὶ διακοσμοῦνται. Διὸ καὶ τὴν θεαρχικὴν ὕπαρξιν ἀγαθότητα ὀνομάζουσι καὶ ὑμνοῦσιν· αὐτὴ δέ ἐστι τὸ ἀγαθὸν, τὸ ὄντως ἀγαστὸν, τὸ ἄκρον ἐφετὸν, ἀρχὴ καὶ πέρας πάντων τῶν ὄντων, ἅπερ ἀγαθύνουσα διατηρεῖ (1).

ΠΕΡΙΛΗΨΙΣ ΤΗΣ ΓΙΤΑΣ (2).

§. 1. Ὁ ἥρως Ἀρζούνας, ὢν ἐν τῷ μέσῳ τῶν δύο παρατεταγμένων στρατῶν, τῶν τε Καουραβῶν καὶ Πανδοΐδῶν πρὸ τῆς ἐνάρξεως τῆς ἐν Κουρουξέτρᾳ μάχης, καὶ ἰδὼν πολλοὺς ἀνδρείους πολεμιστὰς συγγενεῖς αὐτοῦ ἐξ ἀμφοτέρων τῶν μερῶν, εἶπε πρὸς τὸν ἡνιοχοῦντα Κρισνᾶν (ὃς ἦν ὁ παρ' Ἰνδοῖς ἐνανθρωπήσας Θεὸς Βισνοῦς)· « οὐχ ἔστι θεμιτὸν πολεμεῖν τοὺς οἰκείους », καὶ ῥίψας τὸ τόξον, ἐκάθησεν ἀθυμῶν.

§. 2. Ὁ δὲ Κρισνᾶς ἀπεκρίθη. « Σὺ ἀθυμῶν σοφοὺς λέγεις λόγους· ἀλλ' οἱ ἀληθεῖς σοφοὶ οὐκ ἀθυμοῦσιν (3). Ἄκουσον· πάντες ἡμεῖς πάντοτε εἴμεθα, καὶ ἐσόμεθα. Μία καὶ ἡ αὐτὴ ψυχὴ ὑπάρχει εἰς ἁπάσας τὰς ἡλικίας τοῦ

(1) Διονύσιος Ἀρεοπαγίτης περὶ θείων ὀνομάτων Κεφ. δ'. σελ. 284—344. ἐκδ. Παρισ. 1562.

(2) Ἴσως λογισθῇ περιττὴ ἡ περίληψις τῆς Γιτᾶς μετὰ τὴν ἐκτεθεῖσαν προθεωρίαν· ἀλλ' αὐτὴ μὲν διαλαμβάνει τὴν ὑπόθεσιν ὑπὸ ὑψηλοτέραν τινὰ ἔποψιν· ἐκείνη δὲ μερικωτέρως. Καθότι ἕκαστος παράγραφος τῆς περιλήψεως περιέχει ἐν συντόμῳ τὴν ὕλην ἑκάστου κεφαλαίου· ὅθεν δέκα καὶ ὀκτὼ εἰσὶν οἱ παράγραφοι, ὡς καὶ τὰ Κεφάλαια τῆς Γιτᾶς.

(3) Οἱ ἀληθῶς φρονοῦντες τοῦ Σωκράτους καὶ Πλάτωνος.

ἀνθρώπου, νέου καὶ γέροντος· ἡ αὐτὴ ψυχὴ μετὰ τὸν θάνατον τοῦ ἑνὸς σώματος μεταβαίνει εἰς ἄλλο σῶμα, καθότι αὕτη μόνη ἐστὶν ἄφθαρτος, τὸ δὲ σῶμα φθαρτὸν καὶ μεταβλητόν. Ὁ ἀληθὴς σοφὸς οὔτε ἐν τῇ φθορᾷ τοῦ ἑνὸς σώματος λυπεῖται, οὔτε ἐν τῇ γεννήσει ἄλλου χαίρει. Ἡ ψυχή, ὡς ἀναλλοίωτος, ἀλλάσσει σώματα, ὡς τὸ σῶμα ἀλλάσσει τὰ παλαιὰ αὐτοῦ ἐνδύματα (1)· αὐτὴ οὔτε γεννᾶται, οὔτε θνήσκει· οὐδ' ἀναιρεῖται, τοῦ σώματος ἀναιρουμένου. Ὁ φρόνιμος οὖν ἀδιαφορεῖ, βλέπων τὰς μεταβολὰς τοῦ σώματος, ἤτοι τὸν θάνατον· ὁ τοιοῦτος, μὴ καταπονούμενος ἀπὸ τὴν λύπην, μὴ ταραττόμενος ἀπὸ τὴν χαράν, οὐδ' ἀπὸ τὴν ἡδονὴν παρασυρόμενος, οὐδ' ἀπὸ τὴν ἀλγηδόνα νικώμενος ἀποκαθίσταται ἄξιος τῆς ἀθανασίας. Ταῦτ' οὖν πιστεύων ἐγείρου καὶ πολέμει, ὑποτασσόμενος εἰς τὸν νόμον τῆς σῆς πολεμικῆς φυλῆς· ὁ γὰρ ἀθετῶν τὸν νόμον καὶ τὴν ἐντολὴν ἁμαρτάνει· ἡ δὲ ἁμαρτία βλάπτει τὴν ψυχὴν οὖσαν ἀθάνατον. Ὁ Θεός, διαιρέσας τοὺς Ἰνδοὺς εἰς φυλάς, διέταξεν ἐν ταῖς Βέδαις τὸν νόμον ἑκάστης (2). Ὁ πόλεμος

---

(1) Ἡ παρ' Ἀσιανοῖς δοξασία τῆς μετεμψυχώσεως καὶ παλιγγενεσίας. Ὁ Πυθαγόρας μετέφερε πρῶτος αὐτὴν εἰς τὴν Ἑλλάδα. Ὅθεν ὁ ἀοίδιμος Γαλανὸς ὀνομάζει τὸν Πυθαγόραν Ἑ λ λ η ν ι κ ὸ ν Β ε ά σ α ν. Ἴδε Γιτᾶς Κεφ. Β'. Διστίχ. 22. Σχόλ. 4).

(2) Τέσσαρές εἰσιν αἱ φυλαὶ (castes) παρ' Ἰνδοῖς.

1ον Βραχμᾶνες (ἱερεῖς).

2ον Ξατροί (πολεμισταί).

3ον Βαῖσσαι (γεωργοί, βιομήχανοι).

4ον Σοῦδραι (δοῦλοι, ὑπηρέται).

Τὸ καθῆκον ἑκάστης διορίζεται ἀπὸ τὸν θεῖον καὶ ἀνθρώπινον νόμον εἰς τὰς ἱερὰς αὐτῶν βίβλους. Τοῦ μὲν Βραχμᾶνος ἐστὶν ἡ ἐγκράτεια, ἡ μελέτη καὶ ἡ διδασκαλία τῶν Βεδῶν, ἡ θυσία, ἡ προσευχή· τοῦ δὲ Ξατροῦ ἡ ἀνδρεία, ὁ

εἶναι ὁ νόμος καὶ τὸ καθῆκον τοῦ Ξατροῦ· ὁ δὲ Ξατρῆς, ἐπιτυχὼν τοιούτου δικαίου πολέμου, καὶ πολεμῶν, ἐπιτυγχάνει τοῦ οὐρανοῦ· μὴ πολεμῶν δ' ἁμαρτάνει, γινόμενος παραβάτης τοῦ οἰκείου νόμου, καὶ ὡς παράνομος ἀπόλλυται.

«Τινὲς τῶν σοφῶν (οἱ περὶ τὸν σοφὸν Μιμάνσαν) φρονοῦσιν, ὅτι ἡ πρακτικὴ ἀρετὴ ἐστὶν ἱκανὴ πρὸς ἐπιτυχίαν τοῦ ἄκρου ἀγαθοῦ, ὑπολαμβάνοντες ὡς τοιοῦτον τὴν ἀπόλαυσιν τοῦ οὐρανοῦ, καὶ τὴν παλιγγενεσίαν· ἀλλ' οἱ θεόφρονες (ὡς οἱ περὶ τὸν σοφὸν Βεάσαν) δοξάζουσιν, ὅτι ἡ ἀπόλαυσις τοῦ οὐρανοῦ καὶ ἡ παλιγγενεσία οὐκ ἔστι τὸ ἄκρον ἀγαθόν, ἀλλ' ἡ πρὸς Θεὸν ἀΐδιος εἰρήνη καὶ ἕνωσις τῆς ψυχῆς, ἤγουν ἡ ἀποθέωσις αὐτῆς, ἥτις ἀποκτᾶται διὰ μόνης τῆς θεωρίας· ἐπομένως ἡ θεωρία εἶναι ὁ κυρίως σκοπός, ἡ δὲ πρακτικὴ ἀρετὴ ἐστὶν ἀναγκαία διὰ τὴν πρὸς τὴν θεωρίαν ἀνάβασιν. Ποίει οὖν τὰ καλὰ ἔργα, τὸν νοῦν ἀναβιβάζων πρὸς τὴν τοῦ Θεοῦ θεωρίαν καὶ εἰς τὸν νόμον αὐτοῦ ὑποτασσόμενος. Καθότι πᾶσα ἐνάρετος πρᾶξις, μὴ ἔχουσα σκοπὸν τὴν θεωρίαν, ἤγουν τὴν πρὸς Θεὸν ἕνωσιν, ἐστὶν ἀτελής· ἡ δὲ ἀρετή, ἡ γινομένη ἐπὶ τοιούτῳ σκοπῷ, ἐστὶν ἀναγκαία· διότι, δι' αὐτῆς, ὡς ἐῤῥέθη, φθάνεις εἰς τὸν πρὸς ὃν ὅρον. Ὁ ἀπαθὴς θεωρητικὸς ἀφιεροῦται εἰς τὴν θεω-

---

πόλεμος, τὸ κυβερνᾷν· τοῦ Βαΐσσα ἡ γεωργία, ἡ ἐμπορεία, καὶ ἡ βιομηχανία· τοῦ δὲ Σούδρα ἡ δουλεία, καὶ πᾶν εἶδος ὑπηρεσίας. Ἀπὸ τὴν κεφαλὴν τοῦ Θεοῦ Βραχμᾶ ἐγεννήθησαν οἱ θεῖοι Βραχμᾶνες· ἀπὸ τὸν βραχίονα τοῦ Θεοῦ οἱ Ξατραί· ἀπὸ τὴν κοιλίαν αὐτοῦ οἱ Βαΐσαι· καὶ ἀπὸ τοὺς πόδας, ἢ ἀγενέστερον αὐτοῦ ἄλλο μέρος, οἱ Σοῦδραι. Πάντες ὅμως γεννῶνται ἀπὸ τὸν Θεόν· ἀλλ' ὑλοποιήσαντες ἅπαξ τὸν Θεὸν αὐτῶν Βράχμαν, ἐξώκειλον εἰς τὸν Ἀνθρωπομορφισμόν.

ρίαν, ἥτις ἀνωτέρα ἐστὶ τῆς πρακτικῆς ἀρετῆς· οὗτος πράττων τὰ καλὰ εἰς τὸν Θεὸν ἀφορῶν, καταφρονεῖ τὸν ἐκ τούτων καρπόν. Ὁ μὲν ἐνάρετος διώκει τὸν οὐρανὸν καὶ τὴν παλλιγενεσίαν, ὁ δὲ θεωρητικὸς τὴν μετὰ τοῦ Θεοῦ ἕνωσιν. Ὅταν οὖν ὁ ἄνθρωπος καταστῇ ἀνώτερος τῶν παθῶν, τῶν αἰσθήσεων καὶ τῶν αἰσθητῶν, τῆς φαντασίας καὶ πάσης ἐπιθυμίας· ποιῶν δὲ τὰ καλὰ βλέπει τὸν Θεὸν, περιφρονῶν πᾶσαν ἀμοιβὴν καὶ ἀκινήτως εἰς μόνον τὸν Θεὸν ἀφορῶν, οὗτος λεγεται θεωρητικός. Θεόφρων δὲ πάλιν λέγεται ὁ νεκρώσας πάσας τὰς ὀρέξεις τῆς σαρκὸς καὶ τοῦ κόσμου, ὁ ζῶν ἐν τῷ Θεῷ καὶ ἐν αὐτῷ χορεννύμενος. Ὁ μὲν πρακτικὸς ἐνάρετος ἀπέχει ἀπὸ τὰς ἀλόγους ὀρέξεις καὶ ἀπὸ πᾶν ἐπιθυμητὸν ἀντικείμενον· ὁ δὲ θεόφρων ἀπέχει καὶ ἀπὸ τὰς ὀρέξεις, καὶ ἀπὸ τὸ ἐπιθυμητὸν ἀντικείμενον, καὶ ἀπὸ αὐτὴν τὴν ἐπιθυμίαν καὶ μνήμην· καθότι ὁ ἀπέχων τῆς κακῆς πράξεως, καὶ τοῦ ἐπιθυμητοῦ ἀντικειμένου, συλλογίζεται ὅμως ἐνθυμούμενος, πλησιάζει διὰ τῆς φαντασίας εἰς αὐτό· ἐκ δὲ τῆς μνήμης κινεῖται ἡ φαντασία· ἐξ αὐτῆς ἡ ἐπιθυμία· ἐκ ταύτης ἐγείρεται ἡ πρὸς τὸ ποθητὸν ὁρμή· ἐξ αὐτῆς προέρχεται ἡ παραφροσύνη καὶ ἡ λήθη τῶν θείων λογίων· ἔκτοτε, ἐπικρατούσης τῆς ἀλογίας, ὁ ἄνθρωπος παρασύρεται εἰς ἐμπάθειαν, καὶ ἀπόλλυται. Ὁ θεόφρων ὅμως καὶ θεωρητικὸς, κύριος ὢν πάσης σαρκὸς καὶ ἐπιθυμίας, ἀπαθὴς, γαληνιαῖος, θεωρεῖ ἐν ἰσότητι καὶ ταὐτότητι τὸ ὑπέρλαμπρον θεῖον φῶς ἐν παντὶ καιρῷ καὶ τόπῳ, καὶ δι' ὅλου τοῦ βίου, καὶ ἐν αὐτῇ τῇ τελευταίᾳ ὥρᾳ· καὶ ἀναχωρῶν ἀπὸ τὴν γῆν πορεύεται πρὸς τὸν Θεὸν, ἀπὸ τὸν

ὁποῖον οὐδέποτε ἀπεμακρύνθη, ἑνοῦται μετ' αὐτοῦ, καὶ ἀϊδίως ἀποθεοῦται.»

§. 3. Ἀρζούνας. «Ἀλλ' ἂν ἡ θεωρία κρείττων ἐστὶ τῆς πράξεως, διατί προτείνεις εἰς ἐμὲ πρᾶξιν στυγερὰν, ἤτοι τὸν πόλεμον;»

Κρισνᾶς. «Ὁ ἔμφρων χρεωστεῖ ἵνα σώσῃ τὴν ἑαυτοῦ ψυχὴν, ἥτις ἐστὶν ἀθάνατος, καὶ οὐχὶ τὸ σῶμα, ὅπερ ἐστὶ φθαρτόν. Διττὴ δέ ἐστιν ἡ πρὸς σωτηρίαν τῆς ψυχῆς ὁδός. Διὰ μὲν τοὺς ἐκλεκτοὺς θεόφρονας ἡ θεωρία, δι' ἧς ἡ πρὸς Θεὸν ἕνωσις· διὰ δὲ τοὺς ἀγαθοὺς ἡ πρᾶξις τῆς ἀρετῆς, σκοπὸν ἔχουσα τὴν εἰς θεωρίαν ἀνάβασιν. Οἱ πρῶτοι, ὑποτάξαντες τὰς αἰσθήσεις, τὴν φαντασίαν καὶ πᾶσαν ἐπιθυμίαν, πράττουσι τὰ καλὰ διὰ τὸν Θεὸν, μηδενὸς ἄλλου ἐφιέμενοι καὶ μηδαμῶς εἰς ἄλλο ἀφορῶντες οὗτοι ἐρῶσι τοῦ Θεοῦ καὶ ἐν αὐτῷ ἡδυνόμενοι χορέννυνται καὶ, ὡς ἄριστοι, ἀξιοῦνται τῆς μετὰ τοῦ Θεοῦ ἑνώσεως. Σὺ οὖν γενοῦ ἀπαθὴς θεωρητικός· εἰδὲ, ἀκολούθησον τὴν ἄλλην ὁδὸν, τὴν φέρουσαν εἰς θεωρίαν· πράττων δηλαδὴ τὰ καλὰ καὶ νόμιμα, ἐννοῶν τὸν Θεὸν, καὶ εἰς αὐτὸν ἀποδίδων τὰ πάντα. Ὅθεν ἐγέρθητι καὶ πολέμησον, ὅτι τοιοῦτόν ἐστι τὸ σὸν καθῆκον.»

Ἀρζούνας. «Πόθεν ὁ ἄνθρωπος καὶ ἄκων φέρεται βιαίως εἰς τὴν πρᾶξιν τῆς ἁμαρτίας;»

Κρισνᾶς. «Ἡ πρὸς τὴν ἁμαρτίαν βιαία ῥοπὴ γεννᾶται ἐκ τῆς κλίσεως τοῦ ἀνθρώπου πρὸς τὴν ἡδυπάθειαν καὶ τὴν φιλαυτίαν· αὗται, στηριζόμεναι εἰς τὴν αἴσθησιν, νικῶσι τὸν ὀρθὸν λόγον. Πολεμησάτω οὖν ἕκαστος τὴν τοιαύτην κλίσιν, καὶ ὑποταξάτω εἰς τὸν ὀρθὸν λόγον τὰς αἰσθήσεις, τὴν ἐπιθυμίαν καὶ τὴν φαντασίαν· οὕτως μη-

δενίζεται ἡ πρὸς τὴν ἁμαρτίαν βιαία ὁρμή. Τοιαύτη ἐστὶν ἡ ὁδὸς τῆς θείας γνώσεως, ἣν ἐδίδαξά ποτε πρὸς τὸν ἡλιογενῆ προπάτορά σου Μανοῦν, καὶ ἤδη πρὸς σέ, καίτοι ἀπόῤῥητος οὖσα.»

Ἀρζούνας. «Ἀλλ' οἱ προπάτορες ἐμοῦ εἰσὶν ἀρχαιότεροι σοῦ τε καὶ ἐμοῦ. Πῶς οὖν μεταγενέστερος ἐκείνων ὤν, ἐδίδαξας τὴν θείαν γνῶσιν εἰς ἐκείνους τότε, καὶ εἰς ἐμὲ ἤδη;»

Κρισνᾶς. «Εἶπόν σοι, ὅτι οἱ ἄνθρωποι καὶ ἐγὼ πολλὰς ἐλάβομεν, καὶ πολλὰς ληψόμεθα γενέσεις· οἱ μὲν διὰ τῆς παλιγγενεσίας πρὸς ἐπιτυχίαν τῆς ἀθανασίας· ἐγὼ δὲ δι' ἐνσαρκώσεως· καθότι, ὡς Θεός, εἰμὶ ἀγέννητος καὶ ἀΐδιος. Ὁσάκις δὲ πλεονάζει τὸ κακὸν ἐπὶ τῆς γῆς, τότε ἐνανθρωπῶ (ὡς καὶ ἐν τῇ παρούσῃ ἐποχῇ) πρὸς καταστροφὴν τοῦ κακοῦ. Ὅθεν ὁ ὑποτασσόμενος εἰς ἐμέ, ἐκπληροῖ τὸ ἑαυτοῦ καθῆκον, καὶ μετενσωματοῦται· ὁ δὲ θεόφρων, θεωρῶν καὶ ἐρῶν ἐμοῦ, ἑνοῦται μετ' ἐμοῦ ἀϊδίως, καὶ οὐκ ἔχει χρείαν παλιγγενεσίας. Ἄρα ὁ πιστεύων εἰς τὸν λόγον τοῦτον σωθήσεται, ὁ δ' ἀμφιβάλλων ἀπολεσθήσεται.»

§. 5. Ἀρζούνας. «Τί δ' ἐστὶ κρείττων, ἡ ἀγαθὴ πρᾶξις, ἢ ἡ θεωρία;»

Κρισνᾶς. «Ἐῤῥέθη σοι, ὅτι ἀμφότεραί εἰσι πρόξενοι ἀθανασίας. Κρείττων μέν ἐστιν ἡ πρᾶξις τῆς ἀπραξίας· προτιμητέα δὲ ἡ πρᾶξις τῶν καλῶν, ἐκτελουμένη ἄνευ ἐλπίδος ἀμοιβῆς· ἀνωτέρα δὲ ἡ πρᾶξις, σκοπὸν καὶ τέλος ἔχουσα τὴν θεωρίαν, ἤτοι τὴν πρὸς Θεὸν ἕνωσιν. Ἡ θεωρία ἄρα ἐστὶ κρείττων τῆς πράξεως, ἀλλ' ἄνευ τῆς πρακτικῆς ἀρετῆς οὐ κτᾶται ἡ θεωρία· ὅθεν ἀναγκαία ἡ τῶν καλῶν πρᾶξις πρὸς ἀνάβασιν εἰς θεωρίαν. Ὁ φθάσας δὲ

εἰς θεωρίαν νενίκηκε τὸν κόσμον καὶ τὴν σάρκα· οὗτος ἀφορᾷ εἰς τὸν Θεὸν, καὶ ἐν ἰσότητι καὶ ἁγιότητι θεωρεῖ τὸν Θεὸν, καὶ ἐν αὐτῷ ἀγαλλόμενος χορέννυται· οὗτος ἐστὶν ἀνὴρ θεῖος, καὶ ἀθανασίας τυχὼν, οὐκ ἔχει χρείαν παλιγγενεσίας καὶ μετενσωματώσεως.

§. 6. « Ὁ δὲ πρακτικὸς ἐνάρετος, ὡς ἐῤῥέθη, εἶναι μὲν ἀνώτερος τοῦ ἀδιαφόρου, κατώτερος δὲ τοῦ πράττοντος τὰ καλὰ ἔργα ἄνευ ἐλπίδος ἀμοιβῆς. Καὶ τούτου πάλιν κρείττων ἐστὶν ὁ πράττων αὐτὰ, σκοπὸν ἔχων τὴν θεωρίαν· οὗτος μόνος νεκρώσας τὰ πάθη, τὰς αἰσθήσεις καὶ τὴν περὶ αὐτὰς φαντασίαν, κάθηται καθαρὸς καὶ γαληναῖος ἐπὶ τῆς ἱερᾶς πόας, καὶ προσηλώσας τὸν νοῦν καὶ πᾶσαν τὴν ἑαυτοῦ διάνοιαν εἰς τὸν Θεὸν, καὶ εἰς αὐτὸν ἀκλονίστως ἐμμένων, θεωρεῖ τὸ θεῖον, ἀγαλλόμενος ἀῤῥήτον ἀγαλλίασιν. Ὁ τοιοῦτος θεωρεῖ καὶ ἑαυτὸν καὶ τὸ Πᾶν ἐν τῷ Θεῷ (1), καὶ ὁ Θεὸς βλέπει αὐτὸν, ἑνοῦται μετὰ τοῦ θείου, καὶ τὸ θεῖον μετ' αὐτοῦ. »

Ἀρζούνας. « Ἡ θεωρία ἀπαιτεῖ σταθερὰν καὶ ἀκλόνητον διάνοιαν· ἀλλ' ἡ φαντασία ἐστὶν ἄστατος, καὶ ἡ διάνοια εὐκίνητος· πῶς οὖν δύναταί τις ἵνα περιορίσῃ αὐτάς; »

Κρισνᾶς. « Ἡ ἀκατάπαυστος μελέτη, καὶ ἡ νέκρωσις τῶν παθῶν ἀποκαθιστῶσι καθεκτὴν τὴν διάνοιαν· ὁ ἐμμένων εἰς τοῦτο καὶ διηνεκῶς ἐπιμελούμενος, ἀποκτᾷ ἐπὶ τέλους τὴν ἀπάθειαν, καὶ φθάνει δι' αὐτῆς εἰς τὴν θεωρίαν.

§. 7. « Νῦν δὲ καὶ περὶ τῆς θείας γνώσεως. Ἡ ἐμὴ θεία

(1) Καθότι ἡ γενικὴ ψυχὴ τοῦ κόσμου, καὶ ἡ μερικὴ τοῦ θεωρητικοῦ ἀποῤῥέουσι, κατὰ τοὺς Ἰνδοὺς, ἀπὸ τὸν Θεόν· ἐκ τούτου ἡ ταυτότης, ἡ ἰσότης, ἡ ἁρμονία τῶν Ἰνδῶν καὶ τῶν Πυθαγορείων.

φύσις ἐστὶν ὀκταειδής· γῆ, ὕδωρ, πῦρ, ἀὴρ, αἰθὴρ, διάνοια, φαντασία, καὶ ζωοποιὸς δύναμις· αὕτη ἡ ἐμὴ φύσις ἐστὶν ἡ ἀρχὴ τῶν ὄντων, τῆς γενέσεως καὶ τῆς φθορᾶς. Ἐγώ εἰμι ἡ δύναμις τῆς στερεότητος τῆς γῆς· ἡ γευστικὴ τοῦ ὕδατος· ἡ φωτιστικὴ καὶ θερμαντικὴ τοῦ πυρός· ὁ αἰώνιος σπόρος τῶν ὄντων· ὁ νοῦς τῶν φρονίμων· ἡ ἀρετὴ τῶν ἐναρέτων· ὁ παγκόσμιος ἔρως· ἡ γενικὴ ψυχὴ τοῦ παντός. Ἐγώ εἰμι τὸ Ὂμ (1)· ἡ αἰτία πάσης μεταβολῆς, ἀλλ' ἀμετάβλητος. Εἰς αὐτὴν δὲ τὴν θεογνωσίαν φθάνουσι μόνοι οἱ ἀπαθεῖς, θεωρητικοὶ καὶ θεόφρονες.»

§. 8. Ἐν ᾧ ἐξηγοῦνται οἱ ἑξῆς θεολογικοὶ ὅροι·

1ον **Βράχμα** ἐστὶ τὸ ἄφθαρτον καὶ ἀΐδιον θεῖον.

2ον **Ἀδδειάτμαμ**, ἡ δημιουργικὴ δύναμις (Βραχμᾶς).

3ον **Ἀδδειγέγνα**, ἡ διακοσμοῦσα δύναμις (Βισνοῦς).

4ον **Ἀδδειβούταμ**, ὁ ἀπολλύων (Σίβας) (2).

5ον **Ἀδδειδάϊβαμ**, ἡ ψυχὴ τοῦ παντός.

6ον **Κάρμα**, ἡ θυσία καὶ προσευχή, δι' ἧς πλησιάζει ὁ ἄνθρωπος πρὸς τὸν Θεόν.

Ἀρζούνας. «Ποῖον δὲ ἐστὶ τὸ ἀνώτατον ἀγαθὸν, καὶ ὁ ὑπέρτατος ὅρος τῶν θεολόγων;»

Κρισνᾶς. «Ἐῤῥέθη πολλάκις, ὅτι ὁ ὑποτάξας τὰς αἰ-

(1) Ὂμ ἢ Αὖμ (ὁ Ὢν) ἐστὶ μυστηριώδης λέξις ἐξηγοῦσα τὸν ἑνιαῖον Θεὸν καὶ τὴν Τριμουρτήν. Τὸ μὲν Α ἐστὶν ὁ Βισνοῦς· τὸ Υ ὁ Σίβας· τὸ δὲ Μ ὁ Βραχμᾶς· διὰ δὲ τῆς μονοσυλλάβου φωνῆς αἰνίττονται τὸν Βράχμαν, ἐξ οὗ παράγεται ἡ ἐν τρισὶ κοσμικὴ μονάς. Δι' αὐτῆς τῆς λέξεως ἄρχονται καὶ τελειώνουσιν αἱ εὐχαί, οἱ ὕμνοι, αἱ δοξολογίαι· τὴν λέξιν αὐτὴν θέτουσιν οἱ Ἰνδοὶ ἐπὶ κεφαλῆς τῶν ἱερῶν βιβλίων, τῶν ναῶν καὶ τῶν ἀναθημάτων· ἰσοδυναμεῖ δὲ μετὰ τοῦ Ἐ ά δ καὶ τοῦ Ἀραβικοῦ χοῦβε, ὅπερ ἐστὶν αὐτὸς ὁ Θεός.

(2) Ἴσως οὗτος ἐστὶν ὁ ἑβραϊστὶ Ἀβαδδών. (Ἀποκ. κεφ. Θ'.)

σθήσεις, τὰς ἐπιθυμίας καὶ τὴν φαντασιαν· ὁ θεωρῶν καὶ ἐρῶν διὰ παντὸς τοῦ Θεοῦ· ὁ ἔχων ἐν νοὶ καὶ ἐν γλώττῃ τὴν ἱερὰν λέξιν Ὀμ, ἤτοι τὸ ὑπέρκαλλον θεῖον· ὁ ἀναπολῶν ἐμὲ ἐν πάσαις ταῖς ἡμέραις τῆς ζωῆς, καὶ ἐν αὐτῇ τῇ τελευταίᾳ ὥρᾳ τῆς ζωῆς αὐτοῦ, οὗτος ἔρχεται ἐν ἐμοί, καὶ μετ' ἐμοῦ αἰδίως διαμένει· αὐτὸς ἑνοῦται μετὰ τοῦ Θεοῦ καὶ ὁ Θεὸς μετ' αὐτοῦ. Ἡ ἕνωσις αὕτη ἐστὶ τὸ πάνυ ἀγαθόν, καὶ ὁ ἀνώτατος καὶ ἄφθαρτος τῶν θεολόγων καὶ θεωρητικῶν ὅρος, καὶ τῶν ἀγώνων ἁπάντων τὸ ἔνδοξον καὶ ἐφετὸν τέρμα.»

«Πάντα τὰ ὄντα γίνονται, ἀπογίνονται, καὶ πάλιν καὶ πολλάκις γίνονται ἐν τῷ ἡμερονυκτίῳ τοῦ Βραχμᾶ (1)· ὁ δὲ προαιώνιος καὶ ἀΐδιος Βράχμας οὐ φθείρεται, οὐδ' ἀλλοιοῦται, πάντων ἀλλοιουμένων. Τοῦτό ἐστι τὸ ἄναρχον καὶ ἀτελεύτητον θεῖον, καὶ ἡ ἐμοὶ ὑπερούσιος καὶ θεία οὐσία (2).

---

(1) Τὸ ἡμερονύκτιον τοῦ Βραχμᾶ, ἤτοι τῆς κοσμικῆς μονάδος, σύγκειται ἐκ χιλίων τετρακοσίων αἰώνων, καὶ τοιαύτη λογίζεται παρ' Ἰνδοῖς ἡ διάρκεια μιᾶς κοσμογονίας. Τὸ δὲ ἡμερονύκτιον τῶν δευτέρων θεῶν, τῶν πνευμάτων καὶ δαιμόνων σύγκειται ἐκ δώδεκα μηνῶν.

Σημείωσον ἐνταῦθα τὴν διαφορὰν τοῦ Βράχμα καὶ Βραχμᾶ· ὁ μὲν Βράχμας ἐστὶ τὸ ὕψιστον καὶ ἀΐδιον καὶ ἀπόλυτον θεῖον· ὁ δὲ Βραχμᾶς ἡ ἐν χρόνῳ καὶ τόπῳ αὐτοῦ ἐνέργεια καὶ παρουσία, ἐν τρισὶ δυνάμεσι· δημιουργικῇ, συνεκτικῇ, καὶ διαλυτικῇ· αὗται σχηματίζουσι τὴν Ἰνδικὴν Τριάδα ἢ Τριμουρτήν. Διὸ λέγει ὁ Κρισνᾶς· «Τοῦτό ἐστι τὸ ἄναρχον θεῖον, καὶ ἡ μὴ ὑπερούσιος οὐσία· ἐνταῦθα ταυτίζεται, οὕτως εἰπεῖν, ὁ ἀΐδιος Βράχμας, καὶ ὁ ἐν τόπῳ καὶ χρόνῳ ἐνεργῶν Κρισνᾶς.

(2) Παρατηρεῖ ἐνταῦθα ὁ ἀναγνώστης τὴν ἀνωτέρω σημειωθεῖσαν διαφοράν· ὁ μὲν ὕψιστος καὶ ἀπόλυτος Βράχμας, ὡς προαιώνιος καὶ ἀΐδιος, δὲν ἔχει ἀρχήν, οὔτε τέλος, οὐδ' ὑπόκειται εἰς οὐδενὸς χρόνου διάστημα· ὁ δὲ Βραχμᾶς, ὡς ἐν χρόνῳ καὶ διαστήματι ἐνεργῶν, ἔχει ἡμερονύκτιον μεγίστης μὲν ἐκτάσεως, προσδιωρισμένον δὲ εἰς ποσὸν καὶ μέτρον χρόνου. Ἐκ τούτου τὸ ἡμε-

« Δύο εἰσὶν αἱ ὁδοὶ τῶν ἐν τῷ κόσμῳ τούτῳ ἀνθρώπων· ἡ διὰ τῆς ἀπαθείας καὶ θεογνωσίας φωτεινὴ, καὶ ἡ διὰ τῆς ἐμπαθείας καὶ ἀνοίας σκοτεινή. Οἱ μὲν θεωρητικοὶ, πορευόμενοι διὰ τῆς πρώτης φθάνουσιν εἰς τὸ πανέκλαμπρον θεῖον φῶς, καὶ ἑνούμενοι μετὰ τοῦ Ἀϊδίου ἀποθεοῦνται καὶ οὐκ ἐπανέρχονται ἄλλοτε εἰς τὸν κόσμον καὶ τὸν πολύμοχθον τοῦτον βίον. Οἱ δὲ ἐμπαθεῖς, πορευόμενοι τὴν ὁδὸν τοῦ σκότους, ἐπανέρχονται πολλάκις εἰς τὴν γῆν, ἕωσοῦ ἐπιτύχωσι διὰ τῆς ἀπαθείας καὶ θεωρίας τὴν πρὸς Θεὸν ἕνωσιν. Τὰς δύο ταύτας ὁδοὺς γνωρίζων ὁ θεόφρων οὐ προσκολλᾶται τῇ ἁπλῇ πράξει τῆς ἀρετῆς, εἰς ἀπόλαυσιν τοῦ οὐρανοῦ καὶ τῆς παλιγγενεσίας, ἀλλ' ἀφιεροῦται εἰς τὴν θεωρίαν καὶ τὴν θεοφροσύνην, πρὸς ἐπιτυχίαν τῆς ἀϊδίου καὶ ἀῤῥήτου ὀλβιότητος.

§. 9. «Ἄκουσον πάλιν περὶ θεογνωσίας καὶ ὀρθῆς λατρείας. Ἡ θεογνωσία βασιλίς ἐστι τῶν μαθήσεων· ὁ ἀγνοῶν καὶ μὴ ἀκολουθῶν αὐτὴν ἐπανέρχεται εἰς τὴν κοιλάδα τοῦ θανατηφόρου τούτου κόσμου.

« Τὸ Πᾶν τοῦτο συνέχεται ἐμοὶ τῷ ἀκαταλήπτῳ, καὶ πάντα τὰ ὄντα ἐν ἐμοί εἰσιν· ἐγὼ δὲ οὐκ εἰμὶ ἐν τοῖς οὖσιν· οὐδὲ τὰ ὄντα συνάπτονται ἐμοί· διότι αὐτὰ εἰσὶν ὑλικὰ, ἐγὼ δ' ἄϋλος. Ἡ ἐμοὶ δύναμις συνέχει καὶ κυβερνᾷ τὰ ὄντα· αὐτὰ ἐπανέρχονται εἰς ἐμὲ ἐν τῷ τέλει τῆς μιᾶς κοσμογονίας· ἐν δὲ ἀρχῇ ἄλλης κοσμογονίας ἐγὼ ποιῶ αὐτὰ κατὰ μέρος, καὶ ὅλον τὸ σύστημα τοῦ Παντός. Ἡ ὕλη δι' ἐμοῦ κινεῖται καὶ γεννᾷ. Οἱ ἄφρονες, μὴ

ρονύκτιον τοῦ Βραχμᾶ διορίζει τὸ διάστημα τοῦ χρόνου μιᾶς κοσμογονίας. Καὶ ἐκ τούτου πάλιν, πολλά εἰσι τὰ ἡμερονύκτια τοῦ Βραχμᾶ, πολλαὶ αἱ κοσμογονίαι, καὶ πολλαὶ αἱ τοῦ Βισνοῦ ἐνανθρωπήσεις καὶ ἐνσαρκώσεις.

γινώσκοντες τὴν ἐμὴν ὑπερούσιον φύσιν, παραβλέπουσιν ἐμέ, ὡς λαβόντα δῆθεν μορφὴν καὶ σῶμα ἀνθρώπειον.

« Τούτων ἡ ἑτερολατρεία καθαρὰ ἐστὶν ἀσέβεια· οἱ δὲ ὀρθοφρονοῦντες σέβονται ἐμέ, μηδενὶ ἄλλῳ Θεῷ τῷ νοΐ προσέχοντες. Οὗτοι γινώσκοντες ἐμὲ ὡς ἀρχὴν καὶ αἰτίαν τῶν ὄντων, ὑμνοῦσί με ἐγκρατευόμενοι· τινὲς θεραπεύουσιν ἐμὲ δι' ὑλικῆς θυσίας· ἄλλοι διὰ νοερᾶς· τινὲς ὑμνολογοῦσιν ἐμὲ τῇ ἑτερότητι, ἐκλαμβάνοντες ὅτι πάντες οἱ ἄλλοι θεοὶ εἰσὶν αὐτὸς ἐγώ· ἄλλοι τῇ ταυτότητι, πρὸς ἐμὲ δηλονότι κατ' εὐθεῖαν ἀποτεινόμενοι, καὶ γινώσκοντες ὅτι ἐγώ εἰμι ἡ μεθ' αἵματος θυσία, ἡ ἀναίμακτος θυσία· ἐγώ εἰμι ἡ εὐχὴ καὶ τὸ πῦρ τῆς θυσίας, ἡ χοὴ καὶ ἡ σπονδή, ὁ θύων, καὶ τὸ θυόμενον· ἐγώ εἰμι ὁ πατήρ, ἡ μήτηρ, ὁ προπάτωρ τοῦ κόσμου· ἐγώ εἰμι ἡ Τριὰς καὶ τὸ Ὀμ· ἡ γένεσις, ἡ φθορά, τὸ ἔρεισμα πάντων· ὁ ἀΐδιος σπόρος τῶν ὄντων· ἐγώ εἰμι πᾶν αἰσθητόν, πᾶν νοητὸν καὶ νοερόν, ὁρατὸν καὶ ἀόρατον, ὅτι τὸ πᾶν, καὶ πάντες καὶ τὰ πάντα εἰμὶ ἐγὼ εἷς ὁ Θεός (1).

(1) Ὁ Βεάσας δὲν ἠδύνατο ἵνα ἐπιφέρῃ ἐναργέστερον τούτου παράδειγμα τοῦ πανθεϊσμοῦ καὶ τῆς ἀποθεώσεως τῶν φυσικῶν ὄντων· οὗτος ὑλοποιήσας τὸν Θεόν, καὶ θεοποιήσας τὴν ὕλην, παρουσιάζει τὸν ἀνθρωπομορφισμὸν καθ' ὅλην αὐτοῦ τὴν ἐντέλειαν. Εἰς μάτην προσπαθεῖ ἵνα ὑψώσῃ τὸν ἄνθρωπον διὰ τῆς ἀπαθείας καὶ θεωρίας τῶν γυμνοσοφιστῶν μέχρι τῆς θεότητος· ἡ βαρύτης τῆς ὕλης σύρει τὸν ἀποθεωθέντα θεωρητικόν, καὶ τὸν ὑλοποιηθέντα Θεὸν αὐτοῦ εἰς τὸ γήϊνον ἰσόπεδον· ματαίως ζητεῖ ἵνα συστήσῃ τὴν ὑπεροχὴν τοῦ πνευματισμοῦ καὶ τῆς ἀϋλότητος διὰ τῆς νεκρώσεως τῆς σαρκός, τῶν παθῶν καὶ τοῦ κόσμου· ὅταν ἡ ἐν ἐμοὶ ὕλη ἦναι ἀπόῤῥοια Θεοῦ καὶ Θεός, ὅτε ὁ Θεὸς ἐστὶ καὶ πῦρ, καὶ ἡ σπονδή, καὶ εὐχή, καὶ θύων καὶ θῦμα, διατί προτείνει ἵνα νεκρώσῃ τις τὸν Θεὸν ὕλην ὑπὲρ τοῦ Θεοῦ πνεύματος; ἐσφαλμένης οὔσης τῆς ἀρχῆς, ἐσφαλμέναι εἰσὶ καὶ ὅλαι αἱ ἐξ αὐτῆς συνέπειαι. Εἰς αὐστηρὰν ἐξέτασιν πίπτει τὸ λαμπρὸν τῆς θεωρίας τοῦ Βεάσα σύστημα, καὶ τὰ σοβαρὰ αὐτοῦ ἐπιχειρήματα, ὡς σωρὸς ἀπηρχαιωμένων ἐρειπίων,

« Οἱ χρώμενοι οὖν τῇ πρακτικῇ ἀρετῇ ζητοῦσι τὴν παλιγγενεσίαν· οἱ δὲ θεωρητικοί, οἱ ἐμὲ διηνεκῶς διανοούμενοι καὶ εἰς ἐμὲ πιστεύοντες, ἐπιτυγχάνουσι τοῦ ἀνωτάτου ἀγαθοῦ, καὶ διαμένουσι διὰ παντὸς ἡνωμένοι μετὰ τοῦ Θεοῦ. Ὁ γὰρ τιμῶν ἐν τῷ βίῳ τούτῳ τοὺς δαίμονας, τοῖς δαίμοσιν ἐντυγχάνει· οἱ δὲ τοὺς ἄλλους θεούς, μετενσωματοῦνται· οἱ δὲ ἐμέ, ἑνοῦνται μετ' ἐμοῦ καὶ ἀποθεοῦνται. »

§. 10. « Πάλιν ἄκουσον τοῦ ἐμοῦ ὑψηλοῦ λόγου.

« Οὔτε πάντες οἱ θεοί, οὔτε οἱ προφῆται γινώσκουσι ποσάκις ἦλθον φανεὶς ἐπὶ γῆς· ἀλλ' ἱκανόν ἐστι γινώσκειν ἐμὲ ἄναρχον καὶ πρώτην τῶν ὅλων αἰτίαν. Οἱ θεῖοι προφῆται, ἐξ ὧν κατάγονται οἱ Βραχμᾶνες· οἱ πρωτογενεῖς τέσσαρες παῖδες, ἐξ ὧν ἐγένοντο οἱ Μανοῦ, νομοθέται καὶ ἐπιστήμονες, καὶ οἱ Μανουαβαί, ἐξ ὧν προῆλθον οἱ Ξατραί, πάντες οὗτοί εἰσιν ἀπαύγασμα τῆς ἐμῆς οὐσίας. Οἱ ἀληθεῖς σοφοὶ ἐμὲ ἐννοοῦντες καὶ ὑμνοῦντες, ἐν ἐμοὶ ἀναπαύονται εὐφραινόμενοι. Τούτοις διασκεδάσας τὸ σκότος τῆς ἀγνοίας, δίδωμι τὴν θ ε ί α ν γ ν ῶ σ ι ν. »

Ἀρζούνας. « Σὺ οὖν εἶ τὸ ὕψιστον θεῖον. Σὺ ὢν ἀκατάληπτος πῶς ἄν σε γνοίην; εἰπέ μοι πάλιν σαφῶς τὴν σὴν οὐσίαν καὶ δύναμιν. »

Κρισνᾶς. « Εἰπόν σοι, ὅτι ἐγώ εἰμι ἡ ἀρχή, τὸ μέσον καὶ τὸ τέλος ὅλων τῶν ὄντων, ἡ γένεσις, ἡ ὕπαρξις, ἡ φθορά. Μεταξὺ τῶν δώδεκα πρώτων θεῶν εἰμὶ ὁ Βισνοῦς· μεταξὺ τῶν φώτων, ὁ ἥλιος· τῶν ἀστέρων, ὁ

ἐπὶ τῶν ἐρειπίων τοῦ Μιμάνσα καὶ Καπίλα, καὶ συγχέονται τὰ πάντα εἰς τὴν αὐτὴν τέφραν καὶ σῆψιν.

λαμπρότερος· ἐν τοῖς θεοῖς Ῥούδραις, ὁ Σίβας· ἐν τοῖς τρίτοις θεοῖς, ὁ Κουβέρας· ὁ ἀρχηγὸς ὅλων τῶν τάξεων τῶν θεῶν· ἡ πηγὴ τῆς θαλάσσης καὶ τῶν ὑδάτων· ἐν τοῖς θεοπροφήταις, ὁ Ναράδας· ἐν τοῖς θεόφροσιν, ὁ Καπίλας· ὁ πρῶτος ἐν ἀνθρώποις, ἐν ἵπποις, ἐν ἐλέφασιν· ἐν Ξατραῖς, ὁ Ῥάμας καὶ Ἀρζούνας· ὁ ποιητικὸς τῶν ποιητῶν οἶστρος· ἡ ἐπιστήμη τῶν σοφῶν, ἡ θεολογία τῶν θεοσόφων, ὁ λόγος τῆς διανοίας, ἡ ἀρετὴ τῶν ἐναρέτων, ἡ φρόνησις τῶν φρονίμων· ἐν ἑνὶ λόγῳ πᾶν ὅ,τι ὑπάρχει, ὑπῆρξε καὶ ὑπάρξει ἐν τοῖς τρισὶ κόσμοις χθονίῳ, ὑπερχθονίῳ καὶ καταχθονίῳ δι' ἐμοῦ γίνεται, ἔγινε καὶ γενήσεται· ὅ,τι καλὸν καὶ ἄριστον ὑπάρχει ἐν αὐτοῖς, ἐστὶ μόριον τῆς ἐμῆς δυνάμεως (1).»

§. 11. «Ἤκουσα τοῦ ὑψηλοῦ σου λόγου· ἔγνων τὴν σὴν παντοδυναμίαν· δεῖξόν μοι καὶ τὴν θείαν σου μορφήν.»

Κρισνᾶς. «Ἴδες ἐμὲ ἐν τοῖς θεοῖς καὶ ἐν τῷ στερεώματι· ἤδη δίδωμί σοι καὶ θείαν ὅρασιν, καὶ ὅρα τὴν ἐκ τοῦ προχείρου μορφήν καὶ δύναμίν μου.»

Τότε ὁ Ἀρζούνας εἶδε τὸν Θεὸν πολυπρόσωπον, πολυόμματον, πολύμορφον, πολύκοσμον, περιβεβλημένον ὑπερλάμπρῳ φωτί· εἶδε τὸ στερέωμα καὶ ἅπαντα τὸν κόσμον, τοὺς θεούς, τοὺς ὁσίους καὶ τὰ στοιχεῖα τῶν ὄντων πολυειδῶς ἐνόντα τῷ σώματι τοῦ Θεοῦ· Τότε προσκυνήσας εἶπε· «Πιστεύω, ὅτι σὺ εἶ τὸ ὕψιστον Θεῖον, ἡ ἀΐδιος ζωή, ὁ ποιητὴς τοῦ παντός· ἤδη πέπεισμαι ὅτι

(1) Οὕτως δείκνυται ἡ ἐν πᾶσι τοῖς οὖσιν οὐσία τοῦ Θεοῦ· εἶσι δὲ καὶ Βράχμας, Βραχμᾶς, Βισνοῦς καὶ Σίβας, Μανοῦς, Προφήτης, καὶ Ξατρῆς, καὶ ἥλιος, ἄνθρωπος, ἵππος, ὕδωρ, ὄρος κτλ.

καὶ οἱ βασιλεῖς καὶ οἱ στρατοὶ οὗτοι εἰσδύσουσι ταχέως εἰς σέ· ἐμὲ δὲ ἐκλέξας ὄργανον τῆς σῆς ἀποφάσεως. Εἰκότως οἱ μὲν δίκαιοι ἐπὶ τῷ σῷ ὀνόματι ἀγάλλονται· οἱ δαίμονες δεδοικότες φεύγουσιν· ὁ δὲ ὅμιλος τῶν ἁγίων καὶ ὁσίων ὑμνολογοῦσι. Σὺ εἶ τὸ δοχεῖον τοῦ παντός· δόξα σοὶ τῷ παντοδυνάμῳ, δόξα σοι. Ἀλλ' ἔσο μοι ἵλεως· δεῖξόν μοι τὴν προτέραν μορφήν σου.» Τότε ὁ Κρισνᾶς, ἐνανθρωπήσας καὶ αὖθις, ἐφάνη ἄνθρωπος.

Κρισνᾶς. «Ἡ μορφή μου ἐστὶ δυσθεώρητος καὶ αὐτοῖς τοῖς θεοῖς. Μόνος ὁ ἐν ἀτενεῖ λατρείᾳ θεραπεύων ὄψεταί με οἷον εἶδές με.»

§. 12. Ἀρζούνας. «Τίνες εἰσὶν ἄριστοι ἐκ τῶν λατρευόντων σε· οἱ θεωροῦντές σε ἄϋλον, ἢ οἱ θεωροῦντές σε ὑλικόν;»

Κρισνᾶς. «Οἱ ἐμὲ ἀεὶ θεωροῦντες ἄϋλον, ἐρῶντες καὶ θεραπεύοντες, εἰσὶν ἄριστοι· οὗτοι ὄντες ἀπαθεῖς καὶ εὔσπλαγχνοι ἀπολαύσουσί με· τὸ γὰρ ἄϋλον ἐστὶν ἀόρατον τοῖς σωματικοῖς ὀφθαλμοῖς. Προσήλωσον οὖν τὸν νοῦν καὶ τὴν καρδίαν ἐν ἐμοί, καὶ πρὸς ἐμὲ ἐλεύσῃ· τοῦτό ἐστι τὸ ἄριστον καὶ πάνυ ἐφετόν. Μὴ δυνάμενος δὲ τοῦτο ποιῆσαι, φρόντισον διὰ τῆς πρὸς ἐμὲ ἀναμνήσεως διαμεῖναι πλησίον μου. Ἀλλ' ἂν καὶ τοῦτό ἐστί σοι δύσκολον, πράττε τὰ καλὰ καὶ νόμιμα ἕνεκεν ἐμοῦ, παραβλέπων τὸν ἐκ τῶν ἔργων καρπόν, καὶ κτήσῃ τὴν ἀπάθειαν, ἥτις ἀναγκαία ἐστὶ πρὸς θεωρίαν. Καθότι ἡ πρᾶξις τῆς ἀρετῆς ἐστὶ καλή· κρείττων ἡ μελέτη καὶ γνῶσις τῶν ἱερῶν λόγων· καλλίων δὲ ἡ θεωρία, καὶ μετ' αὐτῆς ἡ παράβλεψις πάσης ἐλπίδος ἀμοιβῆς.

§. 13. «Τί δ' ἐςι σῶμα, τί ψυχή, τί γνῶσις, ἄκουσον.

• Ὕλη, στοιχεῖα, αἰσθήσεις, ἐπιθυμία, φαντασία, ἐνθύμησις, ἀγάπη, μῖσος, φόβος, φθόνος, κτλ. εἰσὶ συστατικὰ τοῦ σώματος.

• Ἡ δὲ ψυχὴ ἐστὶν οὐσία ἄϋλος, ἄναρχος, θεία (αὐτὸς ἐγώ)· αὕτη ἄνευ αἰσθήσεων ζωογονεῖ τὰς αἰσθήσεις· αὕτη ἐστὶ νοῦς, νοερὰ, τῇ θεωρίᾳ καταληπτή· τὸ ἔξω καὶ τὸ ἔνδον τῶν ὄντων· ὑπερτέρα τοῦ σώματος καὶ ἡγεμὼν αὐτοῦ. Ἡ μὲν ὕλη ἐστὶ τὸ ὄργανον τῆς συστάσεως τῶν αἰσθήσεων. ἡ δὲ ψυχὴ ὄργανον τῆς αἰσθήσεως. Ἡ ψυχὴ ἐν τῇ ὕλῃ αἰσθάνεται τὰ ἀποτελέσματα τῆς ὕλης· κυριευομένη ἀπὸ τὰς αἰσθήσεις μολύνεται καὶ μετενσωματοῦται· κυριεύουσα δὲ αὐτὰς ἀποθεοῦται.

• Ἡ ἀληθὴς γνῶσις διακρίνει τὴν ὕλην ἀπὸ τὴν ἀϋλότητα, τὴν ψυχὴν ἀπὸ τὸ σῶμα. Ἡ διάκρισις αὕτη φαίνεται εἰς τὴν ταπείνωσιν τοῦ ἀνθρώπου, εἰς τὴν ἁπλότητα, τὸν οἶκτον, τὴν ἰσότητα, τὴν εἰλικρίνειαν, τὴν εὐγνωμοσύνην, τὴν καρτερίαν καὶ ἐγκράτειαν, τὴν ἀπάθειαν καὶ τὴν χαλιναγωγίαν τῶν παθῶν, τὴν ἐν ἡδονῇ ἢ πόνῳ ἱλαρότητα, τὴν ἀκατάπαυστον λατρείαν καὶ σπουδὴν πρὸς κτῆσιν τῆς θεογνωσίας καὶ θεωρίας. Ταῦτα καὶ τὰ τοιαῦτα ἀνήκουσιν εἰς τὴν ὀρθὴν γνῶσιν, δι᾽ ἧς γινώσκεται ἡ ψυχή· ἤγουν τὴν διὰ τῆς θεωρίας, διὰ τῆς διανοίας, διὰ τῆς φιλοσοφίας, διὰ τῆς ἐγκρατείας καὶ τῆς τῶν νομίμων ἐκπληρώσεως, καὶ διὰ τῆς πεποιθήσεως εἰς τὰ παραγγέλματα τῶν Βεδῶν. Πᾶς ἄνθρωπος ὑπάρχει ἐκ τῆς συναφείας τῆς ψυχῆς καὶ τῆς ὕλης· ἡ μὲν ὕλη ἀλλοιοῦται, ἡ δὲ ψυχὴ, ὡς ἄϋλος, διαμένει ἀΐδιος· ὁ γινώσκων οὖν τὴν μεταξὺ τῶν δύο τούτων οὐσιῶν διάστασιν, καὶ τὴν ὕλην μετὰ τῶν ἐπιθυμιῶν καὶ

συνεπειῶν αὐτῶν ὑποτάξας, οὗτος ἀξιοῦται τοῦ Θεοῦ.

§. 14. « Πάλιν λέξω σοι, ὦ Ἀρζούνα, τὴν ὑψηλὴν καὶ θείαν γνῶσιν, ἧς τυχόντες οἱ θεόφρονες ἀπολαύσουσι τῆς ἀθανασίας, οὔτε ἄλλοτε μετενσωματοῦνται, οὔτε ἐν τῇ συντελείᾳ τοῦ αἰῶνος ὀδυνῶνται.

« Ἡ ὕλη ἐςὶν ἡ μήτρα, ἐν ᾗ τίθημι τὸν γόνον, ἐξ οὗ γεννῶνται τὰ ὄντα μετὰ τῶν ἀναλόγων ποιοτήτων. Τρεῖς εἰσὶν αἱ ποιότητες τοῦ σώματος, αἱ συνδέουσαι αὐτὸ μετὰ τῆς ψυχῆς· 1ον Σάτβα, 2ον Ῥάγα, 3ον Τάμα, ἤτοι ἀγαθότης, ἡδονὴ, ἄνοια, ἡ ἀλήθεια, ἐπιθυμία, ἄγνοια· ἡ πρώτη ἐπιφέρει χαρὰν καὶ ἀγαλλίασιν, ἡ δευτέρα τὴν ἐμπάθειαν, ἡ δὲ τρίτη τὴν ἐκ τῆς ἀγνοίας ἀπάτην. Καρπὸς τῆς πρώτης ἐςὶν ἡ ἀλήθεια, τῆς δευτέρας ἡ πλεονεξία, τῆς τρίτης ἡ εὐήθεια. Ὑπερτερεῖ ἡ Σάτβα, ὅταν δεσπόζῃ ἡ ὀρθὴ γνῶσις· ὑπερτερεῖ ἡ Ῥάγα, ὅταν κυριεύῃ ἡ ἐπιθυμία· ὑπερτερεῖ ἡ Τάμα, ὅταν κατακρατεῖ ἡ εὐήθεια καὶ ἡ ἄνοια. Εἰς τὴν πρώτην περίςασιν ὁ ἄνθρωπος εἶναι σοφὸς, καὶ ἔμφρων· εἰς τὴν δευτέραν πλεονέκτης, καὶ ἀκόρεστος· εἰς δὲ τὴν τρίτην εἶναι ἀνόητος καὶ εὐήθης. Τοῦ ἀνθρώπου βιώσαντος ἐν τῇ πρώτῃ, πορεύεται μετὰ θάνατον ἡ ψυχὴ αὐτοῦ εἰς φωτεινὸν οὐρανόν· ἐν δὲ τῇ δευτέρᾳ μετενσωματοῦται· ἐν δὲ τῇ τρίτῃ πορεύεται εἰς τὸν Τάρταρον. Ὁ δὲ θεόφρων, νεκρώσας τὴν σάρκα καὶ νικήσας διὰ τῆς ἀπαθείας καὶ τὰς τρεῖς συνδεούσας τὴν ψυχὴν μετὰ τοῦ σώματος ποιοτήτας, ἑνοῦται μετὰ τοῦ ἀχράντου Θείου καὶ ἀποθεοῦται. »

Ἀρζούνας. « Πῶς ὑπερισχύει τις τῶν τριῶν τούτων ἰδιοτήτων; »

Κρισνᾶς. « Διὰ τῆς ἀπαθείας· Καθότι ὁ ἀπαθὴς καὶ

θεόφρων οὔτε μισεῖ αὐτὰς παρούσας, οὔτε ἐπιθυμεῖ αὐτὰς ἀπούσας· ἐμὲ δὲ τῇ συνεχεῖ καὶ ἀδιαλείπτῳ λατρείᾳ καὶ ἀφοσιώσει θεραπεύει.

§. 15. «Αἱ τρεῖς ἰδιότητες ἐναγκαλίζονται πάντα τὸν ἔμψυχον κόσμον· μόνος ὁ ἀπαθὴς θεωρητικὸς κεῖται ἐκτὸς τοῦ κόσμου καὶ τῶν ἰδιοτήτων. Οὗτος οἰκεῖ ἤδη τὴν ἀμετάβλητον ἐμὴν χώραν, ἔνθα ἀφικόμενος οὐκ ἐπανέρχεται πλέον εἰς τὸν βίον. Δύο εἰσὶ τὰ ἀρχικὰ ὄντα, σῶμα φθαρτὸν, καὶ ψυχὴ ἄφθαρτος· ἔςι δὲ καὶ τρίτον, καλούμενον π α ρ α μ ά τ μ α, τὸ εἰσδύον καὶ ζωοποιοῦν τὰ πάντα· τοῦτό ἐστιν ἡ ἐμὴ ὑπερούσιος δύναμις· ὅθεν ὁ θεόφρων θεωρητικὸς, γνωρίζων τό τε φθαρτὸν καὶ ἄφθαρτον, θεραπεύει ἐμέ. Αὕτη ἐστὶν ἡ ὀρθὴ καὶ μυστηριώδης ἐπιστήμη, καὶ ἡ θεία γνῶσις.

§. 16. «Ἡ μὲν ἀπάθεια ἐπιφέρει τὴν εὐδαιμονίαν τῆς παρούσης καὶ μελλούσης ζωῆς· ἡ δὲ ἐμπάθεια τὴν κακοδαιμονίαν ἀμφοτέρων. Δύο εἰσὶν αἱ φύσεις τῶν ἀνθρώπων· ἡ μὲν θεία (τοῦ ἀπαθοῦς), ἡ δὲ δαιμονιώδης (τοῦ ἐμπαθοῦς). Ἱκανῶς ἐρρέθη σοι περὶ τῆς πρώτης (1): ἄκουσον καὶ περὶ τῆς δευτέρας.

«Οἱ ἐμπαθεῖς, φρονοῦντες ὅτι ὁ κόσμος ἐγένετο ἐξ αὐτομάτου, νομίζουσιν ὅτι οὐκ ἔστιν ἑτέρα μετὰ θάνατον ὕπαρξις· οἱ τοιοῦτοί εἰσιν ἐμπαθεῖς, πλεονέκται, μιαροί· «ἔ σ τ ι μ ο ι τ ο ῦ τ ο σ ή μ ε ρ ο ν, λέγουσι, κ ἀ κ ε ῖ ν ο α ὔ ρ ι ο ν· ἐ τ ρ ύ φ η σ α, τ ρ υ φ ῶ, τ ρ υ φ ή σ ω.» Οὕτω

---

(1) Ὡμίλησε περὶ τοῦ ἀπαθοῦς θεωρητικοῦ, καὶ περὶ τοῦ πρακτικοῦ ἐναρέτου. Ὁ πρῶτος ἑνοῦται μετὰ τοῦ Θείου, ὁ δεύτερος ἀναβαίνει εἰς οὐρανὸν, καὶ πάλιν ἐνσωματοῦται εἰς εἶδος ἀνθρώπου· ἤδη ὁμιλεῖ περὶ τοῦ κυρίως ἐμπαθοῦς, ὅστις καταδικάζεται εἰς τὸν Τάρταρον, ἢ ἐνσωματοῦται εἰς εἴδες ἀκαθάρτων ζώων, ἢ σαρκοβόρων θηρίων.

βιοῦντες πίπτουσι μετὰ θάνατον εἰς τὸν βορβορώδη ᾅδην· ἐκεῖθεν μετενσωματοῦνται εἰς φύσεις λύκων, ὄφεων, σκωλήκων καὶ τῶν τοιούτων.»

§. 17. Ἀρζούνας. «Ποία ἐστὶν ἡ ἰδιότης τῶν θυόντων καὶ ἀμελούντων τὰς ἐντολὰς τῶν ἱερῶν Βεδῶν;»

Κρισνᾶς. «Τρεῖς εἰσὶν αἱ ἰδιότητες τοῦ ἀνθρώπου· τριττὴ καὶ ἡ προθυμία· Σατβικὴ, Ῥαγικὴ, Ταμικὴ· ἐν ὁποίᾳ τούτων εἰσὶ μᾶλλον οἱ ἄνθρωποι πρόθυμοι, τοιοῦτοι καὶ λέγονται. Οἱ πρῶτοι θύουσι τοῖς ἐπουρανίοις θεοῖς· οἱ δεύτεροι τοῖς περὶ τὸν πλοῦτον καὶ τὴν ἐπιθυμίαν θεοῖς· οἱ τρίτοι τοῖς δαίμοσι καὶ φαντάσμασιν. Ἡ δὲ θυσία, ἡ γινομένη κατὰ τὴν ἐντολὴν τῶν Βεδῶν ἄνευ ἐλπίδος ἀμοιβῆς, ἐστὶ θυσία Σατβικὴ· ἡ δ' ἐπ' ἐλπίδι ἀμοιβῆς, Ῥαγικὴ· ἡ δὲ παρὰ τὴν ἐντολὴν, ἄνευ προσευχῆς, Ταμικὴ. Κατὰ τὸν αὐτὸν τρόπον διαιρεῖται ἡ ἄσκησις, ἡ ἐλεημοσύνη, ὁ οἶκτος κτλ.

«Τριχῶς ἐςὶ λεγόμενον καὶ λατρευόμενον τὸ ὄνομα τοῦ Θεοῦ· Ὀμ, Τὰτ, καὶ Σάτ. Ὁ θεόφρων προφέρων τὸ Ὀμ, καὶ τὰ πάντα κατὰ τὴν ἐντολὴν ποιῶν, εὐαρεςεῖ τῷ Θεῷ. Ὁ ἐπιθυμῶν ἀπάθειαν προφέρει τὸ Τάτ· οὗτος ποιῶν τὰ πάντα κατὰ τὴν ἐντολὴν, ἄνευ ἐλπίδος ἀμοιβῆς, πλησιάζει εἰς τὸν Θεόν· ὁ δὲ θεωρητικὸς προφέρων τὸ Σάτ, καὶ ποιῶν τὰ πάντα κατὰ τὴν ἐντολὴν, καὶ ἕνεκα τοῦ Θεοῦ καὶ διὰ τὸν Θεὸν, ἑνοῦται μετὰ τοῦ Θεοῦ. Τὸ δὲ γινόμενον ἐκτὸς τῶν τριῶν τούτων λέξεων, ἀνευλαβῶς καὶ ῥαθύμως, λέγεται Ἀσάτ, ἤτοι ἀνωφελὲς, μάταιον.»

§. 18. Ἀρζούνας. «Ἐπιθυμῶ γνῶναι τὴν σημασίαν τῶν λέξεων Σαννεάσα καὶ Τεάγγα.»

Κρισνᾶς. «Οἱ σοφοὶ καλοῦσι Σαννεάσαν τὴν ἀποχὴν

ἐκείνων τῶν ἔργων, σκοπὸν ἐχόντων τὴν ἀπόλαυσιν καρποῦ ἢ ἐφετοῦ τινός· Τεάγγαν δὲ τὴν ἄνευ ἐξαιρέσεως ἀποχὴν τοῦ καρποῦ πάντων ἐν γένει τῶν ἔργων. Οἱ μὲν (οἱ περὶ τὸν σοφὸν Καπίλαν) θεωροῦσιν ὡς κακὸν τὴν πρώτην ἀπραξίαν· οἱ δὲ (οἱ περὶ τὸν σοφὸν Μιμάνσαν) ὡς μὴ κακόν.

«Ἐγὼ δὲ λέγω σοι· πράττε πάντοτε τὴν θυσίαν καὶ πᾶν καλὸν ἔργον· τοῦτο καθαρίζει τὴν ψυχήν, καὶ ἐστὶ καλόν· πράττων δ' αὐτὸ ἕνεκα τοῦ Θεοῦ, τοῦτό ἐστιν ἄριστον. Ἡ παραμέλησις τῶν ἐντολῶν ἐκ ῥαθυμίας λέγεται Ταμική· ἡ δ' ἐκ τρυφῆς, Ῥαγική· ὁ δὲ πράττων τὰ καλὰ ἄνευ ἐλπίδος ἀμοιβῆς λέγεται κυρίως Τεαγγής.

«Τριττός, ὡς ἐῤῥέθη, ἐστὶ καὶ ὁ ἐκ τῶν ἔργων καρπός· τῶν μὲν φαύλων κακὸς (ὁ ᾅδης)· τῶν δὲ θεωρητικῶν ἄριστος (ἡ πρὸς Θεὸν ἕνωσις)· τῶν δὲ μεσαίων μεσαῖος (ἡ μετενσωμάτωσις). Ὁ πράττων οὖν τὰ καλὰ καὶ νόμιμα οὐκ ἐπαίρεται ἐπὶ τοῖς ἔργοις· οὗτος πολεμῶν οὔτε φθείρει, οὔτε φθείρεται.

«Τρία εἰσὶ τ' ἀντικείμενα τῆς πράξεως· ἡ δόξα, τὸ δοξαζόμενον, ὁ δοξάζων (ἐξ οὗ, δι' οὗ. καὶ πρὸς ὅ). Μόνη ἡ ψυχὴ εἶναι μία, ὡσαύτως καὶ ἡ ἀλήθεια καὶ ἡ γνῶσις. Οἱ δὲ φρονοῦντες πολλὰς τὰς ψυχάς, πολλὰς τὰς ἀληθείας καὶ γνώσεις (ὡς οἱ περὶ τοὺς σοφοὺς Καπίλαν καὶ Γαουτάμαν) ἀπατῶνται· καθότι μόνη ἡ θεωρία καὶ θεογνωσία ἐστὶ κυρίως γνῶσις. Ἐκ δὲ τῆς ποιότητος καὶ ὁ πράττων, καὶ τὸ ἔργον λέγεται τριχῶς· τὸ μὲν ἀπαθῶς καὶ ἄνευ ἐλπίδος ἀμοιβῆς πραττόμενον, λέγεται ἔργον τῆς Σάτβας, καὶ ὁ πράττων Σατβικός· τὸ δ' ἐμπαθῶς πρὸς ἐπιτυχίαν καρποῦ, λέγεται τῆς Ῥάγας, καὶ Ῥα-

γικός· τὸ δ' ἐκτελούμενον ἐξ οἰήσεως καὶ ἀνοίας, ἐστὶν ἔργον τῆς Τάμας, καὶ ὁ ἐκτελῶν Ταμικός. Τριττόν ἐστι καὶ τὸ εἶδος τῆς σκέψεως· ἡ μὲν διακρίνουσα τὸ νόμιμον ἐστὶ Σατβική· ἡ δὲ μὴ καθαρῶς διακρίνουσα, Ῥαγική· ἡ δ' ἐκ φαυλότητος τὸ κακὸν ὡς νόμιμον ἐκλαμβάνουσα, Ταμική. Ἡ αὐτὴ διαίρεσις φυλάττεται εἴς τε τὴν ἐκτέλεσιν, τὴν ἕξιν καὶ τὴν χαράν· ἡ μὲν ἐκ τῆς θεοφροσύνης, πικρὰ μὲν κατ' ἀρχάς, γλυκεῖα δ' ὕστερον (Σατβική)· ἡ δὲ μεμιγμένη τῇ αἰσθήσει γλυκεῖα κατ' ἀρχάς, πικρὰ δ' ὕστερον (Ῥαγική)· ἡ δ' ἐξ εὐηθείας, ὁμοία εἰς τὴν ἀρχὴν καὶ τὸ τέλος (Ταμική). Πάντες οἱ ἄνθρωποι, καὶ πάντα τὰ ἔμψυχα, τὰ διανοήματα καὶ αἱ πράξεις αὐτῶν ὑπόκεινται εἰς τὰς τρεῖς ταύτας ποιότητας τῆς ὕλης, ἢ μᾶλλον εἰπεῖν τοῦ συνδέσμου, τοῦ συνδέοντος τὴν ὕλην μετὰ τῆς ψυχῆς.

« Ὁ Θεὸς διήρεσεν εἰς τέσσαρα τὰς φυλάς, καὶ τὸ καθῆκον αὐτῶν, ἀναλόγως τῆς ἰδιότητος ἑκάστης· 1ον εἰς Βραχμᾶνας· 2ον Ξατράς· 3ον Βαίσσας· 4ον Σούδρας. Τοῦ μὲν πρώτου τὸ καθῆκον ἐστὶν ἡ ἐγκράτεια, ἡ ἀπάθεια, ἡ θεογνωσία· τοῦ δευτέρου ἡ ἀνδρεία, ἡ καρτερία, ὁ πόλεμος· τοῦ τρίτου ἡ γεωργία, ἡ ἐμπορία καὶ ἡ βιομηχανία· τοῦ δὲ τετάρτου ἡ ὑποταγή, ἡ ὑπηρεσία καὶ δουλεία. Ὅστις οὖν ἐμμένει σταθερῶς εἰς τὸ οἰκεῖον ἔργον, μετέχει τῆς ὀρθῆς γνώσεως καὶ εὐχαριστεῖ τὸν Θεόν, ὑποτασσόμενος εἰς τὴν ἐντολὴν αὐτοῦ· ὁ δὲ τἀναντία πράττων ἁμαρτάνει.

« Ἀλλ' ὁ θεόφρων, ἐμμένων εἰς τὴν Σατβικὴν γνῶσιν καὶ τὴν ἀπάθειαν· νικήσας τὴν αἴσθησιν καὶ τὴν φαντασίαν, τὴν ἡδονὴν καὶ τὸν πόνον· ζῶν ἐν μοναξίᾳ, τὸν Θεὸν μόνον βλέπων, ἄνευ οἰήσεως, ἐπιθυμίας, ἐλπίδος·

συμπαθητικὸς ὢν, εὐεργετικὸς καὶ ἱλαρὸς, ὁ τοιοῦτος ἀποκτᾷ τὴν θεογνωσίαν, ἐξομοιοῦται τῷ Θεῷ, ἀγαλλόμενος τὴν ἄρρητον ἀγαλλίασιν. Τοῦτον οὖν μιμούμενος καὶ σὺ ἐργάζου, ἐμὲ διανοοῦ, λάτρευε, θύε, προσκύνει, καὶ πρὸς ἐμὲ ἐλεύσῃ, καὶ πάντων τῶν νῦν καὶ μελλόντων δεινῶν ἀπαλλαγήσῃ· ἄλλως δὲ φρονῶν, καὶ τὸν νόμον τῆς σῆς πολεμικῆς φυλῆς παρακούων, ἀπολεσθήσῃ·

« Αὕτη ἐστὶν ἡ τῶν ἀποκρύφων μυστικωτάτη θεία διδασκαλία. Ταύτην τὴν θείαν Γιτὰν οὐχ ἔξεστιν εἰπεῖν τῷ βεβήλῳ καὶ ἀμυήτῳ. Ὁ ἀκούσας καὶ πιστεύσας ἔςαι μετ' ἐμοῦ, κἀγὼ νοερῶς μετ' αὐτοῦ.» Ὁ δὲ Ἀρζούνας, ἀκούσας καὶ πιστεύσας, ἀνέστη πλήρης πεποιθήσεως καὶ χάριτος εἰς πόλεμον.

Μετὰ τὴν ἔκθεσιν τῶν περὶ τὸν Γάγγην θεοσοφικῶν δοξασιῶν, μικρά τις σύγκρισις τῶν ἀναλόγων ἐν Ἑλλάδι φιλοσοφημάτων ἀναδείξει ἴσως ὠφελίμους τινὰς ἀληθείας, καθὼς καὶ ἐκ τῆς προστρίψεως τῶν σωμάτων φωτεινοὶ ἀναφαίνονται σπινθῆρες.

Ἡ ἀρχαιοτέρα ἐν Ἑλλάδι πνευματικὴ φιλοσοφία ἦν αἱ ἀριθμητικαὶ θεωρίαι τοῦ Πυθαγόρου, ὡς ἐν τῇ Ἰνδίᾳ ἡ Σαγκχία, ἤτοι ἡ ἀριθμητικὴ φιλοσοφία τοῦ Καπίλα (1), ἥτις καθ' ὅλην σχεδὸν τὴν Ἀσίαν καὶ Αἴγυπτον ἐπρεσβεύετο ὡς φιλοσοφικὸν σύστημα, καὶ ὡς θεοσοφικὸν δόγμα (2).

Ὁ Πυθαγόρας υἱὸς τοῦ Μνημάρχου ἢ Μνησάρχου ἦν ἀπόγονος τοῦ ἐκ Κεφαλληνίας Ἀγκαίου, τοῦ συστήσαντος ἀποικίαν εἰς τὴν νῆσον Μελάμφυλλον, καὶ Σάμον ἀντὶ τῆς ἐν Κεφαλληνίᾳ Σάμης ὀνομάσαντος. Ἐκ τούτου κατάγεται ὁ Μνήμαρχος πατὴρ τοῦ Πυθαγόρου, γεννηθέντος 500 π. Χ. περίπου ἔτη (3).

Οὗτος παιδευθεὶς ἐν Ἑλλάδι καὶ Μικρᾷ Ἀσίᾳ πᾶσαν τὴν ἐγκύκλιον μάθησιν («ποικίλοις παιδεύμασι καὶ ἀξιολογοτάτοις») (4) παρὰ τῶν δοκιμωτέρων σοφῶν Κρεοφίλου,

---

(1) Langlois monum. litt. de l'Inde. ch. I. p. 15.

(2) Παραβάλλουσι τινὲς τὸν Πυθαγόραν ὡς πρὸς τὸν Καπίλαν, καὶ τὸν Βεάσαν ὡς πρὸς τὸν Πλάτωνα. Langlois αὐτόθι.

(3) Λέγεται δ' οὖν Ἀγκαῖον τὸν κατοικήσαντα τὴν Σάμην τὴν ἐν Κεφαλληνίᾳ, οἰκῆσαι νῆσον Μελάμφυλλον, προσαγορεύσας τε τὴν πόλιν Σάμον, ἀντὶ τῆς ἐν Κεφαλληνίᾳ Σάμης. Φασὶ τοίνυν Μνήμαρχον, τὸν Πυθαγόραν γεννήσαντα, ἐκ ταύτης εἶναι τῆς οἰκίας καὶ τῆς συγγενείας τοῦ Ἀγκαίου. Ἰάμβλ. Χαλ. Βίος Πυθ. κεφ. β'. σελ. 19—30. Ἐκδ. Kiessling. Στράβ. βιβλ. ιδ'. §. 15. Ἐκδ. Κοραῆ. Γαλλ. μετάφρ. Τ. IV. βιβλ. XIV. σελ. 280.

(4) Ἰάμβλιχος αὐτόθι, σελ· 24.

λέγω, Φερεκύδου, Ἀναξιμάνδρου, Θαλῆ (1), ἐδιδάχθη ὕστερον τὸν ἱερὸν λόγον παρὰ τῶν ἱερέων τῶν προϊσταμένων εἰς τοὺς ναοὺς, καὶ τὰ παρ' αὐτοῖς θεολογούμενα ἐπιμελῶς ἐγνώρισεν (2). Ἀκολούθως, κατὰ τὴν συμβουλὴν τοῦ Θάλητος, πλεύσας εἰς Σιδόνα ἐμυήθη τὰ ἐν ἁπάσῃ τῇ Συρίᾳ μυστήρια, καὶ τὰς τελετὰς τὰς ἱερουργουμένας ἐν Τύρῳ καὶ Βίβλῳ καὶ τὰ λοιπὰ τῆς Συρίας μέρη (3). Ἐκεῖθεν ἐπορεύθη εἰς Αἴγυπτον πρὸς τοὺς ἐν Μέμφιδι καὶ Διοσπόλει ἱερεῖς, ὅπως καλλιόνων, καὶ θειοτέρων καὶ ἀκραιφνῶν μεθέξειν μυημάτων (4). Ἐνταῦθα ὑπομείνας γενναίως πολλὰς καὶ παντοίας δοκιμασίας, εἰσῆλθεν εἰς τὰ ἄδυτα, καὶ ἐν διαστήματι δύο καὶ εἴκοσι ἐτῶν ἤκουσεν, εἶδε καὶ ἔμαθε τὰ παρὰ πᾶσιν ἀπόῤῥητα, ἀόρατα καὶ ἀπόκρυφα (5). Ἐπανελθὼν δ' εἰς Χαλδαίαν ἐδιδάχθη ἐν διαστήματι δώδεκα ἐτῶν παρὰ τῶν ἱερέων, ἱεροφαντῶν, ἀρχιπροφητῶν, μάγων καὶ ῥαββίνων πάντα τὰ παρ' αὐτοῖς θεολογούμενα, καὶ τὰ παρὰ πᾶσι τούτοις ἅγια καὶ ἄῤῥητα πρεσβευόμενα, μηδένα τῶν ἐπὶ σοφίᾳ καὶ θειότητι διασήμων ἀνδρῶν παρατρέξας, μηδεμίαν μυσταγωγίαν ἢ τελετὴν τῶν ὁπωσδήποτε τιμωμένων παραβλέψας (6).

---

(1) Μετὰ τὸν Κρεόφιλον πρὸς Φερεκύδην διεπόρθμευσε καὶ πρὸς Ἀναξίμανδρον καὶ πρὸς Θαλῆν. Ἰάμβλ. αὐτ. σελ. 30—32.

(2) Νῦν δὲ σχεδὸν ἅπασι τοῖς τῶν ἱερῶν προϊσταμένοις παραβαλὼν αὐτὸν καὶ ἐγχειρίζων, ὡς ἂν καὶ τὰ θεῖα κατὰ δύναμιν αὐτάρκως ἐκδιδαχθείη. Πορφύρ. Β. Πυθαγ. καὶ Ἰάμβλ. αὐτ. σελ. 26.

(3) Πορφ. καὶ Ἰάμβλ. αὐτόθι, σελ. 38.

(4) Αὐτόθι σελ. 37—38.

(5) Δύο δὲ καὶ εἴκοσι ἔτη κατὰ τὴν Αἴγυπτον ἐν τοῖς ἀδύτοις διετέλει μυούμενος πάσας θεῶν τελετάς. Ἰάμβλ. αὐτ. σελ. 50.

(6) Ἀφίκετο δὲ καὶ πρὸς Αἰγυπτίους καὶ πρὸς Ἄραβας, Χαλδαίους, Μάγους,

Τούτων οὕτως ἐχόντων ὁ Πυθαγόρας καὶ αἱ θεωρίαι αὐτοῦ συγκεφαλαιοῦσιν, οὕτως εἰπεῖν, πᾶσαν τὴν φιλοσοφίαν καὶ θεοσοφίαν τῶν ἀρχαίων λαῶν τῆς Αἰγύπτου καὶ τῆς Ἀσίας, ὅπερ καὶ παρὰ τῶν συγγραφέων βεβαιοῦται. « Φασὶ δὲ σύνθετον ποιῆσαι τὴν θείαν φιλοσοφίαν καὶ θεραπείαν, ἃ μὲν μαθόντα παρὰ τῶν Ὀρφικῶν, ἃ δὲ παρὰ » Χαλδαίων, Αἰγυπτίων καὶ μάγων κτλ. (1). « Ἐκ δὲ τῆς περὶ ταῦτα τὰ ἔθνη πλάνης ὁ Πυθαγόρας τὸ πλεῖστον τῆς σοφίας ἐνεπορεύσατο, » λέγει ὁ Πορφύριος· ὁ δὲ Εὐσέβιος ὁμολογεῖ, « τὴν πᾶσαν σοφίαν ἐξ ἐράνου συστῆναι, καὶ τὰ κάλλιστα ἐμπορευθῆναι εἰς φιλοσοφίαν παρὰ τῶν βαρβάρων. »

Ὁ Πυθαγόρας, συστήσας διδασκαλεῖον κατὰ μίμησιν τῶν ἐν Ἀσίᾳ ἀναχωρητηρίων, εἰσῆξεν εἰς αὐτὸ τὴν τῶν Ὁμακόων ὁμοδημίαν, καὶ συμβολικῶς ἐδίδασκε τὴν ἐξωτερικὴν καὶ ἐσωτερικὴν ἢ ἐποπτικὴν φιλοσοφίαν, ἀπαιτῶν παρὰ τῶν μαθητῶν αὐτοῦ ἐχεμυθίαν, εὐπείθειαν, σωφροσύνην, ἐγκράτειαν καὶ καθαριότητα ψυχῆς τε καὶ σώματος. Οἱ δὲ τῶν ἐποπτικῶν δογμάτων ἀκόλουθοι, Σεβαστοὶ ἢ Θεωρητικοὶ καλούμενοι, ἐκτὸς τῶν εἰρημένων ἀρετῶν, ἤσκουν τὴν ἀπάθειαν, ζῶντες ἐν ἁγιότητι καὶ

Ἑβραίους κτλ. Ἰάμβλ. καὶ Πορφ. αὐτ. σελ. 22. Συμφωνοῦσιν εἰς τοῦτο οὐ μόνον οἱ κοσμικοὶ συγγραφεῖς παλαιοὶ καὶ νέοι, ἀλλὰ καὶ αὐτοὶ οἱ ἅγιοι Πατέρες, Κύριλλος, Κλήμης ὁ Ἀλεξανδρεύς, ὁ ἱερὸς Αὐγουστῖνος, Ἀμβρόσιος, Εὐσέβιος κλπ. Ὁ δὲ Κλήμης Στρ. 1. σελ. 131 ὀνομάζει καὶ τοὺς ἀρχιπροφήτας λέγων· « Ἱστορεῖται Πυθαγόρας μὲν Σώγχιδι τῷ Αἰγυπτίῳ ἀρχιπροφήτῃ μαθητεῦσαι· Πλάτων Σεχνούφιδι τῷ Ἡλιοπολίτῃ· Εὔδοξος δὲ Κονούφιδι κ.τ.λ. »

(1) Ἰάμβλ. αὐτ. κεφ. κή. σελ. 318. Πορφ. αὐτ. καὶ σχόλ. σελ. 145. Ἡρόδ. Εὐτερ. 81. Ἰσοκ. πρὸς Βούσιριν. Ἴδε ἱστορ. τῆς φιλοσ. παρὰ Ριττέρου καὶ Βράνδου ἐγχειρ. τῆς φιλοσοφ. Τ. Ι. σελ. 418. καὶ ἐφεξῆς. Tiedem. Griechelands Erste. phil. p. 313.

θειότητι, ἐν ἰσότητι καὶ ταὐτότητι, διηνεκῶς μελετῶντες ἑαυτούς τε καὶ τὰ ἀπόῤῥητα, καὶ ἐν θεωρίᾳ τῶν θείων διάγοντες, σύμφωνον τῇ θεωρίᾳ τὴν πρᾶξιν τῆς ἀρετῆς ἔχοντες· «ἁγνεύειν, λέγοντες, προσήκει τοὺς σπουδαίους·» ἕνεκα τούτου ἀπητεῖτο ἡ ὑπεροχὴ τῆς διανοίας ἐπὶ τῶν αἰσθήσεων, τῶν αἰσθητῶν, τῶν ὀρέξεων καὶ τῶν ἐπιθυμιῶν, καὶ ἑπομένως ἡ ἀπαλλαγὴ τῆς ψυχῆς ἀπὸ τοῦ σώματος καὶ ἡ τῶν παθῶν νέκρωσις (1), ὡς ἴδομεν καὶ ἐν τῇ Γιτᾷ. Τριῶν παθῶν ἀποχὴν διδάσκει ὁ Βεάσας· φιληδονίας, πλεονεξίας, θυμοῦ (Γιτ. σελ. 18, §. 45)· τούτων καὶ οἱ Πυθαγόρειοι (2). Πρέπει, λέγουσιν ἀμφότεροι, ὅπως ἀπαλλαγεῖσα ἡ ψυχὴ ἀπὸ παντὸς τοῦ σωματοειδοῦς, ψιλῷ τῷ νῷ τὸ θεῖον ἐποπτεύειν (3). Ὁ ἄνθρωπος, λέγει ὁ Βεάσας καὶ ὁ Πυθαγόρας, γίνεται ἑαυτοῦ βελτίων 1ον ἐν τῷ ἀποθνήσκειν, ἤγουν ἐν τῇ νεκρώσει τῶν παθῶν τῆς σαρκὸς καὶ τῶν ἐπιθυμιῶν αὐτῆς· 2ον ἐν τῇ θεωρίᾳ, ἤγουν ἐν τῇ κοινωνίᾳ καὶ ἑνώσει αὐτοῦ τῇ πρὸς τὸ Θεῖον (ἀνάγκη γὰρ προσιόντα τοῦ ἀχράντου, χωρίζεσθαι αὐτὸν πάσης κακίας)· 3ον καὶ ἐν τῇ μέχρι καὶ αὐτῶν τῶν ἀλό-

(1) Φυγαδευτέον πάσῃ μηχανῇ, καὶ περικοπτέον πυρὶ, καὶ σιδήρῳ καὶ μηχαναῖς παντοίαις κτλ. Πορφ. αὐτ. σελ. 52. σχόλ. σελ. 169. Ἰάμβλ. κεφ. 7, σελ. 74.

(2) Τὰς αἰτίας δεῖ ἀναιρεῖν, δι' ἃς ἀδικεῖν πέφυκεν ἄνθρωπος· φιληδονίαν μὲν ἐν ταῖς ἀπολαύσεσι ταῖς διὰ τοῦ σώματος· πλεονεξίαν δ' ἐν τῷ κερδαίνειν· φιλοδοξίαν δ' ἐν τῷ καθυπερέχειν τῶν ἴσων τε καὶ ὁμοίων. Κλεινίου Ταραντίνου Πυθαγορείου παρὰ Στοβ. περὶ ἀρετῆς Α. §. 66. Τ. Ι. σελ. 30. Ἐκδ. Ὀξον.

(3) Ἐπιστρέψει τὴν ψυχὴν εἰς ἑαυτὴν ἀπό τε τῶν ἐκτὸς, καὶ ἀπὸ τῶν ἀλόγων παθῶν καὶ τοῦ σώματος. Συμπλ. εἰς Ἐπικτ. ἐγχειρ.—Βούλεται Πυθαγόρας, λέγει καὶ ὁ Κλήμης, ὡς δεῖ ἀποστραφέντες τῶν αἰσθητῶν ψιλῷ τῷ νῷ, τὸ Θεῖον ἐποπτεύειν. Στρ. 5. σελ. 249. Πορφ. καὶ Ἰάμβλ. κεφ. 16—20—23—31 καὶ ἑφεξῆς.

γων ζώων εὐποιΐα· Θεοῦ γὰρ καὶ τοῦτο καὶ θείας μιμήσεως (1).

Τὰ πρώτιστα καὶ κυριώτερα δόγματα τῆς Πυθαγορείου φιλοσοφίας εἰσί·

Πρῶτον. Ἡ ἔννοια τοῦ ἑνιαίου Θεοῦ· εἷς Θεὸς ἐν πάντεσιν· αὕτη ἐστὶν ἡ κυρίως ὕπαρξις, ἣν Βράχμα καλοῦσιν οἱ Ἰνδοί· μονάδα δ' ἀπόλυτον, ἀρχικὴν καὶ ἀΐδιον οἱ Πυθαγόρειοι, ἐξ ἧς τὰ πάντα, λέγει ὁ Φιλόλαος· αὐτὴ δὲ ἐξ οὐδενός· ἁγεμὼν καὶ ἄρχων ἁπάντων Θεός, εἷς ἀεὶ ἐών, μόνιμος, ἀκίνατος, αὐτὸς αὐτῷ ὅμοιος (2). Δύο δὲ ἀρχαὶ τῶν ὄντων καὶ τῆς κοσμογονίας· καθότι ἐκ τῆς ἀκαταλήπτου οὐσίας τῆς μονάδος παράγεται ἡ ἀόριστος δυάς, ἤγουν ἡ ὕλη καὶ τὸ πλῆθος (3)· ὅθεν ὁ Φιλόλαος λέγει τὴν δυάδα σύνευνον τοῦ Κρόνου, ἤγουν συνυπάρχουσαν καὶ συναΐδιον τῇ μονάδι, ἐξ ἧς παρήχθη. Ἡ φύσις, ἀκολουθεῖ, ἁρμόχθη ἐξ ἀπείρων τε καὶ περαινόντων, καὶ ὅλος ὁ κόσμος, καὶ τὰ ἐν αὐτῷ πάντα . . . ἀνάγκα δύο ἀρχὰς ἦμεν

---

(1) Ἀνωνύμου βίος Πυθ. παρὰ Φωτίῳ. Ἰδὲ Πορφ. Ἐκδ. Kiessling σελ 102—104—106. Ὁ αὐτὸς λέγει παρακατιών· ὑπερτεροῦντος τοῦ ἐν ἡμῖν Θείου (τῆς λογικῆς ψυχῆς) ἀναγόμεθα ἐπὶ τὰ κρείττω· ἐπικρατήσαντος δὲ τοῦ θηριώδους (τῆς σαρκός), ἐπὶ τὰ χείρω. Ἐὰν οὖν τις θεραπεύσῃ τὸ ἐν ἡμῖν Θεῖον, δυνήσεται ἑκάστῃ τῶν ἄλλων δυνάμεων εἰς δέον χρήσασθαι· αὐτ. σελ. 115—116. Τοῦτο εἴδομεν καὶ ἐν τῇ ὑπεροχῇ τῶν ἰδιοτήτων Σάτβας, Ῥάγας, καὶ Τάμας.

(2) Ἰδὲ τὰ τεμάχ. Φιλολ. ἐκδοθέντα παρὰ Βοικκίου, καὶ Ἰάμβλ. αὐτ. κεφ. 28. σελ. 308. «Τὰν ἀριθμῶ οὐσίαν ἀΐδιον εἶναι μὲν ἀρχὰν προμαθεστάταν τῶ παντὸς οὐρανῶ καὶ γᾶς καὶ τᾶς μεταξὺ φύσιος, ἔτι δὲ καὶ διαμονᾶς ῥίζαν.» Φιλόλ. αὐτ.

(3) Ἡ μὲν μονὰς τὸ ποιητικόν, ὅπερ ἐστὶ νοῦς, ὁ Θεός· ἡ δὲ δυὰς τὸ ὑλικὸν καὶ παθητικόν, ὅπερ ἐστὶν ὁ ὁρατὸς Κόσμος. Πλούτ. ἀρεσ. φιλ. κεφ. 3.— Πυθαγόρας τῶν ἀρχῶν τὴν μὲν μονάδα Θεὸν καὶ τ' ἀγαθόν· τὴν δ' ἀόριστον δυάδα τὸ ὑλικὸν πλῆθος καὶ τὸ κακόν. Στοβ. Ἐκλογ. βιβλ. Ι. σελ. 58. Ἀριστοτ. περὶ οὐρανοῦ· Φιλόλ. Βοικκίου σελ. 46.

τῶν ὄντων (1)· δύο ἑπομένως εἰσὶ καὶ οἱ ὅροι· ὁ τῆς ταὐτότητος καὶ ὁ τῆς ἑτερότητος· ὁ τοῦ ἀμεταβλήτου καὶ ὁ τοῦ μεταβλητοῦ· ὁ τοῦ ἀμερίστου καὶ ὁ τοῦ μεριστοῦ· ὁ τοῦ ταὐτοῦ καὶ ὁ τοῦ θατέρου, κατὰ τὸν Πλάτωνα καὶ τὸν πρὸ αὐτοῦ Πυθαγόραν (2)· ὥστε ἀρχὴ τῶν πάντων ἡ ἀΐδιος μονάς· ἐκ δὲ τῆς μονάδος (εἰς τὸ πλήρωμα τοῦ χρόνου) ἀόριστον δυάδα, ὡς ἂν ὕλη τῇ μονάδι αἰτίῳ ὄντι ὑποστῆναι (3). Ἐπειδὴ δὲ ἡ δυὰς γεννᾶται ἀπὸ τὴν ἀγέννητον καὶ ἄναρχον μονάδα, καὶ ἐξ αὐτῶν πάντες οἱ ἀριθμοὶ καὶ πάντα τὰ ὄντα, βεβαιοῦσιν οἱ Πυθαγόρειοι, ὅτι ὁ μὲν Θεὸς εἷς, αὐτὸς δὲ οὐκ ἐκτὸς τῆς διακοσμήσεως, ἀλλ' ἐν ἑαυτῷ ὅλος, ἐν ὅλῳ τῷ κύκλῳ τῆς ἀῤῥήτου κοσμοποιΐας, ὡς ὁ Φιλόλαός φησιν, ὁ ἐν Φιλήβῳ Πλάτων (4), καὶ ὁ Βεάσας ἀποφαίνεται λέγων, ὅτι ὁ Θεὸς ἐν τῷ παντὶ, καὶ τὸ πᾶν ἐν τῷ Θεῷ· ἐξ ὧν γίνεται καταφανὴς ἡ ταὐτότης τῆς δοξασίας, τῆς ἀποῤῥοίας καὶ τοῦ πανθεϊσμοῦ τῶν θεοσόφων Ἰνδῶν, καὶ τῶν Πυθαγορείων.

Δεύτερον. Ἡ ἀθανασία τῆς ψυχῆς, ἣν ἐπρέσβευον ἔκπαλοι οἱ ἀρχαῖοι λαοὶ τῆς Αἰγύπτου καὶ τῆς Ἀσίας. Πυ-

(1) Φιλόλ. αὐτόθ.

(2) Ἕτερον γὰρ καὶ ἑτερότητα οἱ παλαιοὶ οἱ περὶ τὸν Πυθαγόραν πυθμενικῶς ἐν τῇ δυάδι ἐθεώρουν. Ταὐτὸν δὲ καὶ ταὐτότητα ἐν τῇ μονάδι, ὡς ἐν διασαῖς ἀρχαῖς τῶν ὅλων. Καὶ Νικομ. εἰσαγ. ἀριθ. σελ. 129. — Πορφ. αὐτ. σελ. 34. Στοβ. καὶ Ἀριστ. αὐτ. Ἀλέξαν. ἐν ταῖς τῶν φιλοσ. διαδοχαῖς παρὰ Λαερτίῳ βιβλ. VIII. 25. σελ. 507.

(3) Διογ. Λαερ. αὐτ. Πλούτ. ἀρεσ. φιλ. κεφ. 3, Βουθήρου περὶ ἀριθ. παρὰ Στοβ. Ἐκλ. φυσ. 5. Ἀριστ. μετὰ τὰ φυσ. I. 5. Σεξτ. Ἐμπ. ὑποτ. III, 152. Συγκατατίθεται εἶναι ἐκ περαινόντων ἅμα καὶ ἀπείρων συνιστᾶναι τὸν κόσμον· κατ' εἰκόνα δηλονότι τοῦ ἀριθμοῦ. Καὶ γὰρ οὗτος σύμπας ἐκ μονάδος καὶ δυάδος σύγκειται, ἀρτίου καὶ περιττοῦ. Νικομ. ἀριθ. Τ. I. σελ. 59.

(4) Πλάτ. εἰς Φίληβ. καὶ Πρόκ. Θεολογ. βιβλ. I. σ. 26. Ἀριστ. μετὰ τὰ φυσ. Α. 5. Φιλόλ. Βοιχ. σελ. 45—47.

θαγόρας γὰρ ὁ Σάμιος πρῶτος ἐτόλμησεν εἰπεῖν, ὅτι αὐτῷ τὸ μὲν σῶμα τεθνήξεται, ἡ δὲ ψυχὴ ἀναπτᾶσα οἰχήσεται ἀθανὴς καὶ ἀγήρως (1). Ἡ δὲ τῆς ψυχῆς διαμονὴ καὶ ἀϊδιότης ἐν τοῖς μάλιστα τῶν Πυθαγορικῶν δογμάτων γνώριμόν ἐστι καὶ περιβόητον (2).

Τρίτον. Ἡ μετεμψύχωσις ἢ μετενσωμάτωσις καὶ παλιγγενεσία τῆς ψυχῆς, ἣν περιπόλησιν τῆς ψυχῆς ἐκάλουν οἱ Πυθαγόρειοι (3).

Τέταρτον. Ἡ μετὰ θάνατον τιμωρία τῆς ψυχῆς τοῦ κακοῦ, καὶ ἡ ἀμοιβὴ ἢ ἀΐδιος μακαριότης τῆς ψυχῆς τοῦ ἀγαθοῦ (4)· ἑπομένως ἡ μὲν ἀκάθαρτος καὶ ἁμαρτιῶν πλήρης ψυχὴ τοῦ φαύλου, τοῦ φιληδόνου, τοῦ πλεονέκτου κτλ., μετὰ τὸν φυσικὸν χωρισμὸν, οὖσα ἀθάνατος τιμωρεῖται ἢ μετενσωματοῦται πλανωμένη εἰς παντοίων ζώων γένη κατά τινας περιόδους χρόνων, καθὼς ἀνακαινίζεται πᾶσα ἡ κτίσις, κατὰ διαφόρους κοσμικὰς περιόδους, ἣν γενικὴν παλιγγενεσίαν τῶν ὅλων ὠνόμαζον· «ὅτι κατὰ περιόδους τὰ γινόμενά ποτε, πάλιν γίνε-

---

(1) Μάξ. ὁ Τυρ. λ. ις΄. σελ. 148. Πορφ. αὐτ. σελ. 40. Ἀθάνατον εἶναι φησὶ τὴν ψυχήν. Ἡροδ. Εὐτέρπη § 123. σελ. 408. Ἐκδ. Schweigh. Ἔνιοι διϊσχυρίζονται, ὅτι ὁ διδάσκαλος τοῦ Πυθαγόρου Φερεκύδης πρῶτος ἐν τοῖς Ἕλλησιν εἶπεν, ὅτι ἡ ψυχή ἐστιν ἀθάνατος. Pherecydes Syrius primus dixit animos hominum sempiternos. Cicer. Tuscul. Dispt. lib. I. §. XVI·

(2) Πορφ. αὐτ. σελ. 40. Πρῶτον μὲν ὡς ἀθάνατον εἶναι φησὶ τὴν ψυχήν. Ἴδε καὶ σχόλ. 159—162.

(3) Ἀποφῆναι τὴν ψυχὴν κύκλον ἀνάγκης ἀμείβουσαν. Λαερ. αὐτ. σελ. 570—576.—Ὡς ἀνθρώπου ψυχὴ ἀθάνατός ἐστι· τοῦ σώματος δὲ καταφθίνοντος, ἐς ἄλλο ζῶον ἀεὶ γινόμενον ἐσδύεται. Ἡρόδ. Εὐτερ. §. 123.— Πρῶτον μὲν ὡς ἀθάνατον εἶναι τὴν ψυχὴν, εἶτα μεταβάλλουσαν εἰς ἄλλα γένη ζώων. Ἰάμβλ. καὶ Πορφ. αὐτ. σελ. 40.

(4) Πρόκλ. ἐν Τιμ. Πλάτ. βιβ. Ε΄. σελ. 329.

ται, τὸ δὲ σῶμα διαλύεται» (1). Ἑπομένως ἡ ψυχὴ μόνη τοῦ ἀπαθοῦς θεωρητικοῦ, ἡ μηδέποτε ἐν τῷ βίῳ τοῦ Θεοῦ ἀποστᾶσα· ἡ ἐν θεοφροσύνῃ, κατὰ τοὺς Ἰνδοὺς, καὶ ἐν θεοκρασίᾳ κατὰ τοὺς Πυθαγορείους βιώσασα, χωριζομένη ὁλοτελῶς τοῦ σώματος, ἀνέρχεται εἰς οὐρανὸν, καὶ ἀϊδίως ἑνοῦται μετὰ τοῦ ἀϊδίου Θεοῦ (2). Ἡ ἕνωσις αὕτη ἐστὶ τὸ ἄκρον ἐφετὸν, καὶ ὁ ἀνώτατος ὅρος τῶν θεοσόφων, καὶ θεωρητικῶν. Ὅθεν τὸ πρώτιστον παράγγελμα αὐτῶν εἶναι ἡ διὰ τῆς διηνεκοῦς μελέτης καὶ ἀπαθείας θεωρία, καὶ ἕνωσις· καὶ ὁ διὰ τῆς ἀρετῆς, καὶ τῆς τῶν παθῶν νεκρώσεως χωρισμὸς τῆς ψυχῆς ἀπὸ τοῦ σώματος, καὶ ἡ οὕτω προσέγγισις αὐτῆς εἰς τὸ Θεῖον. Ὁ βίος ἑπομένως ἀμφοτέρων, θεοσόφων τε καὶ θεωρητικῶν, ἀποκαθίσταται θεῖος· οὐδ' ἔξεστιν, ἔλεγον οἱ τελευταῖοι, διασπᾶν καὶ ἀποχωρίζειν ἐν μηδεμιᾷ περιστάσει τὴν ἐν ἡμῖν θείαν ψυχὴν ἀπὸ τὸ Θεῖον· ἀλλ' ἀνάγκῃ, λέγει ἀφ' ἑνὸς ὁ Βεάσας, ζῆν ἐν θεοφροσύνῃ· οἱ δὲ Πυθαγόρειοι, κατὰ τὴν λαμπρὰν αὐτῶν

---

(1) Τὴν περιήλυσιν δὲ αὐτῇ γίνεσθαι ἐν τρισχιλίοισι ἔτεσιν. Ἡρόδ. Εὐτέρπη. Τὴν ἔννοιαν δὲ ταύτην, λέγει ὁ Ἡρόδοτος, λαβόντες παρὰ τῶν Αἰγυπτίων καὶ Ἀσιανῶν, ἐχρήσαντο τινὲς τῶν ἀρχαιοτέρων καὶ νεωτέρων Ἑλλήνων (ὁ Φερεκύδης, Πυθαγόρας, Πλάτων κλπ.) ὡς ἰδίαν ἑωυτῶν ἐοῦσαν· τῶν ἐγὼ εἰδὼς τὰ οὐνόματα, οὐ γράφω. Ὁ δὲ Πορφύριος λέγει· ἡ μὲν ψυχὴ ἀθάνατος, εἶτα μεταβάλλουσα εἰς ἄλλα γένη ζώων, ἢ ἄλλα σώματα ἀνθρώπων . . . . . καὶ ὅτι πάντα τὰ γινόμενα ἔμψυχα ὁμογενῆ δεῖ νομίζειν, σελ. 41—42· ἐξ οὗ φαίνεται πρῶτον ὁ μέχρι καὶ αὐτῶν τῶν ζώων οἶκτος καὶ ἡ συμπάθεια τῶν Ἰνδῶν καὶ Πυθαγορείων· καὶ δεύτερον ὅτι ἀμφότεροι ἐφρόνουν γενικήν τινα ψυχὴν τοῦ παντός· ὅθεν καὶ ὁ Πλούταρχος ἀποφαίνεται λέγων «τὴν ψυχὴν ἐξιοῦσαν » εἰς τὴν τοῦ παντὸς ἀναχωρεῖν πρὸς τὸ ὁμογενές.» Ἀρεσκ. φιλοσ. βιβ. Δ'. κεφ. 7.

(2) Πρόκλ. εἰς τὸν τοῦ Πλάτ. Τίμ. βιβ. Ε. σελ. 329. Ἴδε τὸν τοῦ Πλάτωνος Φαίδωνα καὶ Ἱεροκλέα αὐτόθι.

ρῆσιν, ζῆν ἐν θεοκρασίᾳ. Ὅθεν ἡ ψυχὴ, ἐλευθέρα ἀπὸ πάσης σωματικῆς καὶ κοσμικῆς φλυαρίας, καὶ ὅλως καθαρὰ καὶ ἡγιασμένη, τὸ ἁγνὸν, καὶ ἅγιον Θεῖον θεωρεῖ: «οὕτως ἔσσεαι, τοὐντεῦθεν, ἀθάνατος, καὶ Θεὸς ἄμβροτος·» διότι μετὰ τὴν νέκρωσιν μόνην τῶν παθῶν, ἡ θεοποιία ἡμῶν γίνεται, οὐχὶ κατ' οὐσίαν, ἀλλ' ἐκ προκοπῆς ἐπιγενομένη (1). Ταῦτα δὲ πάντα πρὸς ἐπιτυχίαν τῆς μετὰ τοῦ Θεοῦ ἑνώσεως, ἤτοι τῆς ἀποθεώσεως τῆς ψυχῆς (2), ἥτις ἐστὶ τὸ ἄκρον ἐφετὸν, ὁ ἀνώτατος ὅρος τῶν θεολόγων, τῶν πόνων τὸ κάλλιςον, ὁ τελειότατος καρπὸς, τὸ πάνυ ἀγαθόν: ἤγουν «οἰκειῶσαι καὶ ἀναγαγεῖν πρὸς τὸ ὄντως καλὸν, τὸ ὕψιστον Θεῖον· τούτοις γὰρ καὶ τοῖς τοιούτοις, λέγει ὁ Πυθαγόρικος Ἱεροκλῆς, καὶ τὸ τῆς ἀποθεώσεως ἀπόκειται γέρας» (3).

Ὁ δὲ Πλάτων,(4) θεωρούμενος ἔννατος τοῦ Πυθαγόρου διάδοχος, θέλων ἵνα δείξῃ τὴν Πυθαγόρειον πηγὴν τῶν ἐν τῷ διαλόγῳ τοῦ Φαίδωνος κενοφανῶν ἰδεῶν, παρί-

---

(1) Παρήγγελον γὰρ θαμὰ ἀλλήλοις μὴ διασπᾷν τὸν ἐν ἑαυτοῖς Θεόν· οὐκοῦν θεοκρασίαν τινὰ, καὶ τὴν πρὸς Θεὸν ἕνωσιν, καὶ τὴν τοῦ νοῦ, καὶ τὴν τῆς θείας ψυχῆς κοινωνίαν ἀπέβλεπε πᾶσα σπουδὴ δι' ἔργων τε καὶ λόγων. Ἰάμβλ. αὐτ. κεφ. 33. σελ. 470. Ἱεροκ. αὐτόθ· σελ. 313—314. ὑπομ. εἰς τὰ χρ. ἔπη τοῦ Πυθαγ.

(2) Ἱεροκλ. αὐτόθι.

(3) Ἱεροκλ. χρυσ. ἔπη αὐτόθι.—ὅτι καὶ Πυθαγόρας, καὶ Σωκράτης, καὶ Διογένης τοιαῦτα (ὡς εἰ Ἰνδοὶ) λέγουσι· Στράβ. βιβλ, ΙΕ. Ἰνδικὴ §. 65, §. 68. Ἴδε καὶ Πλούταρ. εἰς βιβλ. Ἀλεξαν.—Ἀῤῥιαν. βιβλ. 7.—Κλημ. Ἀλεξ. Στρ. Γ'. 7. —Πορφ. περὶ ἀποχ. βιβλ. Δ'. 6.—Φιλόστρ. βίον Ἀπολλ. βιβλ. Γ'. κεφ. 4—5. Καὶ Παλλάδιον περὶ τῶν τῆς Ἰνδίας Ἐθνῶν καὶ τῶν Βραχμάνων. ἐκδ. Λονδίνου 1668. Ἐν ᾗ περιέχεται διατριβὴ τοῦ Ἱεροῦ Ἀμβροσίου de Moribus Brachmanorum, καί τινος ἀνωνύμου de Brachmanibus.

(4) Ὁ Πλάτων θεωρεῖται ἔννατος τοῦ Πυθαγόρου διάδοχος.

στησιν ἀκροατὰς τοὺς Πυθαγορείους Κέβητα, καὶ Σιμμίαν, καὶ αὐτὸν τὸν Ἐχεκράτην, ἄνδρα ἐπίσημον, ἀκριβῶς διατηρήσαντα μέχρι τέλους τὰς ἀρχὰς τοῦ Πυθαγόρου (1). Οὗτοι καί τινες ἄλλοι, συνελθόντες εἰς τὸ δεσμωτήριον τὴν τελευταίαν ἡμέραν, καθ' ἣν ἔμελλεν ἵνα πίῃ ὁ Σωκράτης τὸ κώνειον, εὗρον αὐτὸν ἐν θεωρίᾳ φιλοσοφοῦντα (2)·

Πρῶτον. Περὶ τῆς ἀθανασίας τῆς ψυχῆς.

Δεύτερον. Περὶ τῆς μετὰ τὸν θάνατον ὀλβιότητος τῶν ἀγαθῶν, καὶ τῆς τιμωρίας τῶν κακῶν καὶ φαύλων (3).

Περὶ τῶν αὐτῶν τούτων ἀντικειμένων ὁμιλεῖ ὁ Βεάσας ἐν τῇ Γιτᾷ, πρὸ τῆς ἐνάρξεως τῆς περὶ τὴν Κρυρουξέτραν μάχης, καὶ ὁ Σωκράτης τὴν τελευταίαν ὥραν τῆς ζωῆς του· ἀμφότεροι, οὕτως εἰπεῖν, ἀπέναντι τοῦ θανάτου.

Οἱ θεοσόφοι Ἰνδοὶ καὶ Αἰγύπτιοι· ὁ Πυθαγόρας καὶ

---

(1) Τελευταῖοι γὰρ ἐγένοντο τῶν Πυθαγορείων Ξενόφιλος καὶ Ἐχεκράτης. Διογ. Λαερτ. Ἦσαν δὲ οἱ σπουδαιότατοι τῶν Πυθαγορείων Φάτων καὶ Ἐχεκράτης . . . Ἐφύλαξαν οὖν τὰ ἐξ ἀρχῆς ἤθη καὶ μαθήματα ἕως εὐγενῶς ἠφανίσθησαν. Ἰάμβλ. Β. Πυθ. § 250—254. Ὁ Κικέρων παρατηρεῖ τὴν ἀπ' Αἰγύπτου καὶ Ἀσίας μέχρι Σωκράτους καὶ Πλάτωνος συνέχειαν τῶν ἐν τῷ Φαίδωνι ἰδεῶν. Cic. de finib. V. 29.

(2) Δὲν ἀναφέρω τὰς περὶ κοσμογονίας δοξασίας τοῦ Πλάτωνος, αἵτινες συμφωνοῦσι, κατὰ μέγα μέρος, ὡς πρὸς τὰς θεωρίας τοῦ Πυθαγόρου. «Κινουμένην (τὴν ὕλην) ἀτάκτως, εἰς τάξιν ὁ Θεὸς μετήγαγεν·» ὥστε τὴν ὑπάρχουσαν κατ' αὐτὸν ὕλην ἐκ τῆς ἀκοσμίας, εἰς κόσμον ὁ Θεὸς μετήγαγε. Καθ' ἡμᾶς δὲ ὁ Θεὸς δημιουργήσας τὴν μηδόλως ὑπάρχουσαν πρότερον ὕλην, ἔδωκεν εἰς αὐτὴν καὶ ὕπαρξιν καὶ κόσμον.

(3) Ἀλλὰ περὶ ψυχῆς ἐφιλοσόφει, καὶ περὶ τῆς ἐν ᾅδου ἐξηγεῖτο, ὁπόσα μὲν ἀγαθὰ ἐκεῖ περιμένει, ὁπόσα δὲ κακίαν, τιμωρήματα καὶ κολαστήρια. Θεμίς. λ. 11. σελ. 58.

ὁ Πλάτων διῄρουν τὴν διδασκαλίαν αὐτῶν, εἰς ἐξωτερικὴν καὶ πάνδημον, καὶ εἰς ἐσωτερικὴν θείαν καὶ ἀπόρρητον, ἣν πρὸς μόνους τοὺς ἐκλεκτοὺς καὶ μεμυημένους μετ' εὐλαβείας ἐκοινοποίουν. Αὐτὴν διδάσκει ὁ Κρισνᾶς πρὸς τὸν φίλον αὐτοῦ Ἀρζούναν· αὐτὴν ὁ Σωκράτης καὶ Πλάτων πρὸς τοὺς ἐπιστηθίους αὐτῶν μαθητάς.

Τρία ἐν τῷ Φαίδωνι, καὶ ἐν τῇ Γιτᾷ διακρίνονται: ψυχή, σῶμα, καὶ ἡ τούτων προσωρινὴ σχέσις ἢ σύνδεσμος, ἥτις ἐστὶ τὸ κυρίως ἐγώ, καὶ ἡ τοῦ ἀνθρώπου ζωή.

Ἀποδεικνύει ἐκεῖ ὁ Βεάσας, καὶ ἐνταῦθα ὁ Πλάτων, διὰ πολλῶν καὶ ἰσχυρῶν ἐπειχειρημάτων, ὅτι αἱ δύο οὐσίαι διαφέρουσιν οὐσιωδῶς ἡ μία τῆς ἄλλης. Ἡ μὲν ψυχή ἐστιν ἐνεργητική, ἄϋλος, ἐπομένως ἄφθαρτος καὶ ἀθάνατος· τὸ δὲ σῶμα ἀδρανές, ὑλικόν, ἀκολούθως μεταβλητόν, καὶ φθαρτόν. Εἰς τὴν πρώτην ἀνήκει ὁ λόγος, ἡ ἀλήθεια, ὡς εἰς ὅλα τὰ ὁμογενῆ αὐτῆς· εἰς δὲ τὸ δεύτερον ἡ ἄγνοια, ἡ ἀλογία, καὶ ἡ ἀπάτη, ὡς εἰς πᾶσαν τὴν ὁμογενῆ αὐτοῦ ὕλην. Οὔτε ἡ ψυχὴ μόνη, οὔτε τὸ σῶμα μόνον ἁμαρτάνει· ἀλλ' ἐν τῇ σχέσει τῶν δύο οὐσιῶν κεῖται ἡ ἀπάτη, ἔνθα εἰσὶν αἱ αἰσθήσεις, τὰ πάθη, αἱ ὀρέξεις, τὸ ἐπιθυμητικὸν ὅλον καὶ φανταστικόν, καὶ παθητικόν. Ὁ καιρὸς ἐπομένως τῆς σχέσεως τῶν δύο οὐσιῶν, ἐςὶ λίαν ἐπικίνδυνος. Διότι ἡ ψυχή, ἀφ' ἑνὸς ἐφαπτομένη τῆς ταυτότητος, εἰς ἣν πρόσκειται ἡ ἀλήθεια, καὶ ἀφ' ἑτέρου τῆς ἑτερότητος, εἰς ἣν πρόσκειται τὸ πλῆθος καὶ ἡ ἄγνοια, ἀποκαθίστησιν ἐπικίνδυνον τὴν ἐν τῷ βίῳ πάλην αὐτῆς· ὥςε ἂν ὑπερισχύσῃ ἡ ψυχή, φθάνομεν εἰς τὴν ἀλήθειαν καὶ τὴν θεωρίαν τοῦ Εἰλικρινοῦς, τοῦ ὄντως Καλοῦ· εἰ δὲ ὑπερτερήσῃ τὸ σῶμα καὶ αἱ ὀρέξεις αὐτοῦ, φθάνομεν εἰς

τὴν ἀπάτην, ἥτις ἐςὶν αἰτία πλάνης, καὶ μυρίων ἀτοπημάτων. Ὁ καιρὸς λοιπὸν οὗτος, λέγει ὁ Πλάτων, (ὡς ἐν τῇ Γιτᾷ ὁ Βεάσας), ἀπαιτεῖ μεγίστην φροντίδα· καθότι δὲν πρόκειται « ὑπὲρ τοῦ χρόνου τούτου, ἐν ᾧ καλοῦμεν τὸ ζῆν, ἀλλ' ὑπὲρ τῆς παντοδαπῆς ζωῆς τῆς ἀθανάτου ψυχῆς.» Καὶ ἐπειδὴ, κατὰ τὸν Πλάτωνα, « ὅταν ἡ ψυχὴ τῷ σώματι προσχρῆται εἰς τὸ σκοπεῖν (τοῦτο γάρ ἐςι τὸ διὰ τοῦ σώματος σκοπεῖν), τότε ἕλκεται ὑπ' αὐτοῦ (τοῦ σώματος) εἰς τὰ μεταβλητὰ, καὶ αὐτὴ πλανᾶται καὶ ταράττεται καὶ ἰλιγγιᾷ, ἅ τε τοιούτων ἐφαπτομένη· ἀνάγκη πᾶσα' ὅπως, νικήσασα τὰς ἐπιθυμίας, καὶ τοῦ σώματος χωρισθεῖσα, αὐτὴ καθ' ἑαυτὴ σκοπῇ, ἐκεῖσε οἴχεται εἰς τὸ καθαρὸν καὶ ἀεὶ Ὂν καὶ ἀθάνατον, καὶ ὡς συγγενὴς οὖσα αὐτοῦ, ἀεὶ μετ' ἐκείνου τε γίνεται· τότε μόνον πέπαυται τοῦ πλάνου, καὶ αὐτὸ θεωρεῖ τὸ Ἀληθές » (1).

Ἐπειδὴ δὲ ἡ ψυχὴ, φθάσαι θέλουσα εἰς τὸ Ἀληθὲς, ἤτοι τὴν θείαν γνῶσιν, μεταχειριζομένη τὸ σωματοειδὲς ταράττεται καὶ ἰλιγγιᾷ, δῆλον ὅτι πρέπει ἐξάπαντος ἵνα νικήσῃ αὐτὸ, λέγει ὁ Πλάτων, ὅπως θεωρήσῃ αὐτὴ καθ' αὐτὴ, αὐτὸ καθ' αὐτὸ τὸ Ἀληθές. Φθάνει δὲ εἰς αὐτὸ ἐν τῷ λογίζεσθαι· λογίζεται δὲ ὅτε, χωριζομένη ἀπὸ τὴν ταραχὴν τῶν αἰσθήσεων καὶ τοῦ σωματοειδοῦς, ἐπιχειρῇ σκοπεῖν αὐτὴ καθ' αὐτὴ εἰλικρινεῖ τῇ διανοίᾳ χρωμένη· ὥςε δυοῖν θάτερον, λέγει, ἢ οὐδέποτε ἀποκτᾷ τις τὴν σοφίαν, ἤτοι τὴν θείαν γνῶσιν, ἢ μετὰ τὴν ἀπελευθέρωσιν τῆς ψυχῆς

(1) Ὅστις δὲ συστέλλων ἕλκει τὰς ἑαυτοῦ αἰσθήσεις ἀπὸ τῶν αἰσθητῶν πανάπασι, καθάπερ ἡ χελώνη τὰ ἑαυτῆς μέλη, τούτῳ ἐστὶ θεοφροσύνη. Γιτ. Κεφ. β'. Δίς. 58→72.

ἀπὸ τοῦ σώματος (1). Χωρίζεται δὲ ἡ ψυχὴ ἀπὸ τοῦ σώματος διττῶς· ἢ διὰ τοῦ φυσικοῦ θανάτου, ὅταν ὁ Θεὸς κελεύσῃ, ἢ ὁ νόμος καὶ τὸ καθῆκον ἐπιτάξῃ (2)· ἢ διὰ τῆς ἀπαλλαγῆς τῆς ψυχῆς ἀπὸ τοῦ σώματος, καὶ τῶν τούτου ὀρέξεων καὶ παθῶν. Ἡ ἀπαλλαγὴ αὕτη, φθάνουσα εἰς βαθμὸν τινὰ ὑψηλὸν, ἀποκαθίσταται κυρίως χωρισμὸς τῆς ψυχῆς ἀπὸ τοῦ σώματος, ὅςτις ἐςὶν εἶδος θανάτου ἢ νεκρώσεως τοῦ σωματοειδοῦς, τῶν παθῶν, καὶ τῶν τούτου ἐπιθυμιῶν, τῶν αἰσθήσεων, καὶ τῶν περὶ τὸ σῶμα ποιοτήτων, κατὰ τὸν Βεάσαν καὶ Πλάτωνα, ἤτοι τοῦ φανταστικοῦ ὅλου, τοῦ ἐπιθυμητικοῦ, καὶ παθητικοῦ (3).

Τούτων οὕτως ἐχόντων μία ἐστὶν ἡ ὁδὸς ἡ φέρουσα πρὸς τὴν θεωρίαν τοῦ ἀχράντου, καὶ εἰλικρινοῦς Θείου: ἡ ἀπάθεια, ἤτοι ἡ νέκρωσις τῶν παθῶν, λέγουσιν οἱ θεοσόφοι Ἰνδοί· τὸ θνήσκειν καὶ τεθνᾶναι βεβαιοῦσιν ὁ Σωκράτης καὶ Πλάτων, ὅπερ ἐστὶ τὸ αὐτὸ, ἤγουν ἡ νέκρωσις. Διὸ λέγουσιν οἱ περὶ τὴν Ἀκαδημίαν, ὅτι ὅσοι τυγχάνουσιν ὀρθῶς ἁπτόμενοι φιλοσοφίας, οὐδὲν ἄλλο ἐπιτηδεύουσιν, ἢ ἀποθνήσκειν τε καὶ τεθνᾶναι.

Τὸ ἔργον ἑπομένως ἀμφοτέρων τῶν τε Ἰνδῶν καὶ τῶν

---

(1) Ὁ σοφὸς, εἰδὼς ὅτι αἱ αἰσθήσεις ἀκολουθοῦσι τὰ αἰσθητὰ, οὐ προσφύεται οὔτε ταῖς αἰσθήσεσιν, οὔτε τοῖς ἐξ αὐτῶν ἔργοις. Γιτ. Βιβλ. γ'. Δίςιχ. 28—37—38—43.

(2) Ὁ νόμος τῆς φυλῆς τῶν Ξατρῶν διατάττει τὸν Ἀρζούναν ἵνα πολεμήσῃ· ὁ νόμος τῶν Ἀθηναίων τὸν Σωκράτην ἵνα πίῃ τὸ κώνειον. « εἰ μὴ δικαιότερον ᾤμην καὶ κάλλιον εἶναι πρὸ τοῦ φεύγειν τε καὶ ἀποδιδράσκειν, ὑπέχειν τῇ πόλει δίκην, ἣν τινα ἂν τάττῃ. » Πλάτων εἰς Φαίδ.

(3) Κτᾶται δὲ ταύτην τὴν θείαν γνῶσιν ὁ πίστιν ἔχων, καὶ εἰς Θεὸν μόνον βλέπων, καὶ τῶν αἰσθήσεων κρατῶν. Κτησάμενος δὲ τὴν θείαν γνῶσιν ἐν βραχεῖ ἀπάθειαν καὶ ἀθανασίαν προσεπικτᾶται. Γιτ. Βιβλ. δ'. Δίςιχ. 39.

Ἑλλήνων σοφῶν ἐστὶ τὸ αὐτό. « Καὶ τὸ μελέτημα αὐτὸ τοῦτό ἐστι, λύσις δηλαδὴ καὶ χωρισμὸς τῆς ψυχῆς ἀπὸ τοῦ σώματος καὶ τῶν τούτου παθῶν, ἤτοι ἡ τοῦ τεθνᾶναι μελέτη· θάνατος γὰρ ἡ νέκρωσις τῶν παθῶν ἐστὶ, λέγει ὁ Πλάτων, ἡ τῆς ψυχῆς ἀπαλλαγὴ ἀπὸ τοῦ σώματος » (1). Καὶ ἡ μὲν προσπάθεια εἰς ἀπαλλαγὴν τῆς ψυχῆς, χαλεῖται θνήσκειν· τεθνᾶναι δὲ ἐστὶ τὸ τέλος, εἰς ὃ φθάνει ὁ ἀπαθὴς θεωρητικὸς, καὶ ὁ ἀληθὴς φιλόσοφος, ὁ νικήσας ἤδη τὴν σάρκα, καὶ τὸν κόσμον. « Ἀποθνήσκει μὲν γὰρ, λέγει, ὁ θάνατον μελετῶν καθαρτικὸς, καθαίρων (δηλονότι) ἑαυτὸν τῶν παθῶν· τέθνηκε δὲ ἤδη ὁ θεωρητικὸς, κεχώρισται γὰρ τῶν παθῶν. » Ὅτι διττὴ ἐστὶν ἡ κάθαρσις· ἡ μὲν ἐν τῷ καθαίρεσθαι· ἡ δὲ ἐν τῷ κεκαθάρθαι. Τὸ πρῶτον δηλοῖ τὴν προσπάθειαν· τὸ δεύτερον, αὐτὸ τὸ τέλος, εἰς ὃ φθάνει ἡ τοιαύτη προσπάθεια (2), ἥτις ἐστὶν ἡ κυρίως ἀπάθεια τῶν Ἰνδῶν.

Πρὸς ἐπιτυχίαν τούτου ἀπαιτεῖται ἰσχυρὰ καὶ σαθερὰ θέλησις, ἐγκράτεια, καὶ ἀκατάπαυςος μελέτη (3). Τούτων οὕτως ἐχόντων, ἡ φιλοσοφία, λέγει ὁ Πλάτων, παραλα-

---

(1) Ἀνελκυστέον ἄρα ἐκ τοῦ βυθοῦ τούτου τοῦ κόσμου τὴν ψυχὴν διὰ τοῦ ὀρθοῦ λογισμοῦ κτλ. Πλάτ. εἰς Φαίδ.

Ὅτε δὲ οὐ προσφύεται οὔτε τοῖς ὑπὸ τὴν αἴσθησιν, οὔτε τοῖς ἐξ αὐτῶν ἀποτελέσμασι, καὶ ἀποβάλλει πάντα λογισμὸν τῆς καρδίας, καὶ ἀπέχει πάσης ἐπιθυμίας, τότε λέγεται ὡς ἀνέβη εἰς θεωρίαν (ἡ τοῦ τεθνᾶναι μελέτη). Γιτ. Κεφ. ς'. Δίστ. 4 καὶ ἐφεξῆς.

(2) L'affanchissement de l'âme des besoins du corp porté à un certain degré, c'et la mort ; la mort n'etant que la séparation du corps et de l'âme. Le philosophe opère en lui la mort dans le triomphe de la liberté sur les sens ; et c'est précisement quand il meurt ainsi qu'il est plus en possession de la vie. Platon. par V. Cousin. Phédon arg. philos. p. 164.

(3) Τὰ αὐτὰ διδάσκει καὶ ἡ Γιτὰ Κεφ. 6. ἰδίως δίστ. 34—35—47.

δοῦσα τὴν ψυχὴν διαδεδεμένην καὶ προσκεκολλημένην διὰ τῆς ἐπιθυμίας ἐν τῷ σώματι, ἠρέμα λύειν ἐπιχειρεῖ, παρακελευομένη ἀθροίζεσθαι εἰς ἑαυτήν· ἀπέχεσθαι δὲ τῶν ἡδονῶν, καὶ ἐπιθυμιῶν, λύπης, φόβου, κ.τ.λ. Καθότι ἑκάστη ἡδονή, λύπη, ἐπιθυμία, ὥσπερ ἧλον καὶ χαρφίον ἔχουσα, προσηλοῖ, καὶ χαρφώνει, οὕτως εἰπεῖν, τὴν ψυχὴν πρὸς τὸ σῶμα, καὶ π ρ ο σ π ε ρ ο ν ᾷ, καὶ ποιεῖ αὐτὴν σωματοειδῆ, ἀναπλέα τοῦ σώματος, καὶ ὁμοφυῆ αὐτοῦ· καὶ ἐκ τούτου ἀναξίαν τῆς τοῦ θείου, καὶ καθαροῦ, καὶ μονοειδοῦς συνουσίας, καὶ τοῖς παρ' Ἰνδοῖς, καὶ Πυθαγορείοις θεωρίας, καὶ τῆς μετὰ τοῦ ἀχράντου Θείου ἀϊδίου ἐνώσεως καὶ ἀποθεώσεως αὐτῆς (1).

Ἡ ἀληθὴς ἑπομένως φιλοσοφία, καὶ ἡ παρ' Ἰνδοῖς θεία γνῶσις διδάσκει, ὅτι ἡ τοῦ ἀκαθάρτου, καὶ ἐμπαθοῦς ψυχή, ἡ τὰς ἐπιθυμίας τοῦ σώματος θεραπεύσασα, ὁμοιοῦται τῷ σωματοειδεῖ καὶ σύμφυτος γίνεται καὶ γεώδης, καὶ ὑπὸ τῶν παθῶν βαρυνομένη, ἄνω βλέπειν ἀδυνατεῖ· κάτω δὲ ἕλκεται δίκην τετραπόδων. Ἡ δὲ τοῦ θεωρητικοῦ καὶ ἀληθῶς σοφοῦ, καθαρὰ οὖσα, καὶ ἀπηλλαγμένη παντὸς τοῦ σωματοειδοῦς τῶν αἰσθήσεων καὶ τῶν αἰσθη-

---

(1) « Πόθεν προέρχονται ὅλα τὰ δεινὰ τῆς παρούσης ζωῆς; Ἐκ τῆς σχέσεως τῆς ψυχῆς μετὰ τοῦ σώματος· ἡ σχέσις αὕτη ἐπιφέρει ἐξ ἀνάγκης μεθ' ἑαυτῆς τὴν διαφωνίαν, τὴν ἀπάτην, τὴν κακίαν καὶ ἀθλιότητα. Τὸ ἔργον τῆς φιλοσοφίας εἶναι ἡ ἀπαλλαγή, ἢ ἡ ἀπομάκρυνσις τῆς ψυχῆς, ὅσον τὸ δυνατὸν περισσότερον, ἀπὸ τὴν ὀλεθρίαν αὐτὴν πηγήν, καὶ ἡ προσπάθεια αὐτῆς ἵνα ὑψώσῃ διὰ τῆς σταθερᾶς θελήσεως μικρὸν κατὰ μικρὸν τὴν λογικὴν τοῦ ἀνθρώπου οὐσίαν εἰς τὴν ἀλήθειαν, τὴν εἰρήνην, τὴν ἑνότητα, διδάσκουσα αὐτὴν τὴν ψυχὴν ἵνα ἀπαλλαχθῇ ἀπὸ πασῶν τῶν ἀναγκῶν καὶ τῶν ἀπαιτήσεων τοῦ σώματος. » Κουσίνου φιλοσοφικὴ προθεωρία εἰς τὸν τοῦ Πλάτωνος Φαίδωνα, σελ. 163—164.—Ὅ,τι συμβουλεύει ὁ Πλάτων πρὸς ἐπιτυχίαν τῆς ὀρθῆς φιλοσοφίας, αὐτὸ τοῦτο διδάσκει καὶ ὁ Βεάσας πρὸς ἐπιτυχίαν τῆς θεωρίας εἰς τὸ ϛ'. Κεφάλαιον τῆς Γιτᾶς.

τῶν, τοὐντεῦθεν πλησιάζουσα θεωρεῖ τὸ Θεῖον, καὶ μετὰ θάνατον εἰς τὸ ὅμοιον αὐτῇ ἀπέρχεται, ὅπερ ἐςὶ τὸ Θεῖον· ἔνθα ἀφικομένη, πλάνης καὶ ἀνοίας, παλιγγενεσίας καὶ μετενσωματώσεως, καὶ τῶν ἄλλων κακῶν ἀπηλλαγμένη ἐστί (1).

Ἐκ ταύτης τῆς θείας γνώσεως διακρίνονται τρία ἤδη ἀνθρώπων ἔν τε τῇ Γιτᾷ, καὶ ἐν τῷ Φαίδωνι·

Α^ον Οἱ φιλοσώματοι ἐμπαθεῖς, οἱ διὰ παντὸς τοῦ βίου τὸ σῶμα καὶ τὰς ἐπιθυμίας αὐτοῦ θεραπεύοντες·

Β^ον Οἱ φιλομαθεῖς, ἢ οἱ πρακτικοὶ ἐνάρετοι, ἤτοι οἱ προσπαθοῦντες ἵνα ἀποκτήσωσι τὴν ἀληθῆ φιλοσοφίαν· οἱ τὸ θνήσκειν μὲν ἐπιτηδεύοντες, μὴ φθάνοντες δὲ εἰς ἀπάθειαν, καὶ θεωρίαν· ἤτοι οἱ πράξαντες μὲν τὴν ἀρετὴν, μὴ φθάσαντες δὲ εἰς τὸν βαθμὸν τῆς θεωρίας, ἀπαθείας, καὶ τοῦ τεθνᾶναι.

Γ^ον Οἱ θεωρητικοὶ, ἢ ἀπαθεῖς, οἱ κυριεύοντες τὰς αἰσθήσεις καὶ τὰ αἰσθητά· οἱ νεκρώνοντες τὴν σάρκα, καὶ τὸν κόσμον, καὶ τὰ θεῖα θεωροῦντες. Ἐκ τούτων οἱ μὲν πρῶτοι μετὰ θάνατον εἰς τὸν ᾅδην, λέγει ὁ Πλάτων, ἀφικόμενοι, ἐν τόπῳ σκοτεινῷ καὶ ἐν βορβόρῳ κείσονται. Κατά τινα δὲ παλαιὸν λόγον (2) αἱ ψυχαὶ τῶν

(1) Πλάτ. εἰς Φαίδ. καὶ Γιτ. Κεφ. ιζ'.

(2) «Πρῶτοι δὲ καὶ τόνδε τὸν λόγον Αἰγύπτιοι εἰσὶ εἰπόντες, ὡς ἀνθρώπου ψυχὴ ἀθάνατός ἐστι· τοῦ σώματος δὲ καταφθίνοντος εἰς ἄλλο ζῶον ἀεὶ γινόμενον ἐσδύεται.» Ἡρόδ. Εὐτερ. §. 123.

Ὁ μὲν Ἡρόδοτος ἀποδίδει τὸν λόγον εἰς τοὺς Αἰγυπτίους· ὁ Πλάτων εἰς τὸν Ὀρφέα· ὁ Δακιέρος εἰς τοὺς προφήτας· ὁ Πρόκλος καὶ οἱ Ἀλεξανδρινοὶ εἰς τοὺς Αἰγυπτίους· ὁ Κουσῖνος εἰς τοὺς περὶ τὸν Γάγγην ποταμὸν θεοσόφους. Ἡ Γιτὰ δεικνύει τὴν ἀληθῆ πηγὴν τῆς δοξασίας ταύτης. Ἴδε Ἡρόδ. αὐτ. Cousin Phed. arg. phil. Etudes philolos. et crit. par M. le Comte d'Ouvaroff. pag. 14.

τοιούτων, μετά τινα περίοδον χρόνων, πάλιν γε δεῦρο ἀφικνοῦνται, καὶ γίνονται πάλιν, καὶ πολλάκις γίνονται (1) · πάλιν ἄγων τὰς ψυχὰς εἰς τὸ σῶμα, καὶ πάλιν ἀπὸ τοῦ σώματος ἀνάγων, καὶ τοῦτο κύκλῳ πολλάκις (circulus æterni motus). Ἐπειδὴ δὲ διάφοροί εἰσιν οἱ βαθμοὶ τῆς ἐμπαθείας καὶ κακίας, αἱ ψυχαὶ τῶν ἀδίκων καὶ φαύλων πλανῶνται τῇδε κἀκεῖσε, ἕως ἂν ἐνδεθῶσιν εἰς ἄλλο σῶμα· τῶν μὲν γαστριμάργων καὶ ὑβριστῶν, εἰς τὰ τῶν ὄνων καὶ τῶν τοιούτων θηρίων ἐνδύονται γένη· τῶν δὲ ἀδίκων καὶ ἁρπάγων εἰς τὰ τῶν λύκων καὶ ἰκτίνων κτλ.

Οἱ δὲ δεύτεροι, οἱ τὴν πρακτικὴν ἀρετὴν τῆς Γιτᾶς τελέσαντες, ἀλλ' ἄνευ ἀπαθείας καὶ θεωρίας· κατὰ δὲ τὸν Πλάτωνα, οἱ τὴν δημοτικὴν καὶ πολιτικὴν ἀρετὴν πράξαντες ἐξ ἔθους, καὶ μελέτης, ἀλλ' ἄνευ φιλοσοφίας ὀρθῆς τε καὶ νοῦ (ἤτοι θεωρίας)· αἱ ψυχαί, λέγει, τῶν τοιούτων μετενσωματοῦνται ἢ εἰς σῶμα ἡμέρων ζώων, ἢ εἰς αὐτὸ πάλιν τὸ τῶν ἀνθρώπων γένος, καὶ γίνονται ἐξ αὐτῶν ἄνδρες μέτριοι. Τοῦτο δὲ συμβαίνει πολλάκις, ἑωσοῦ ἐπιτύχωσι τὴν διὰ τῆς θεωρίας καὶ τῆς ὀρθῆς φιλοσοφίας ἀΐδιον μετὰ τοῦ Θεοῦ ἕνωσιν (2).

Μόναι λοιπὸν αἱ ψυχαὶ τῶν τρίτων, ἤτοι τῶν θεωρητικῶν, τῶν ὀρθῶς, ἤγουν ἀκλινῶς καὶ καθαρτικῶς φιλοσοφησάντων, ἑνοῦνται μετὰ τοῦ ἀϊδίου Θεοῦ, καὶ ἀϊδίως μετ' αὐτοῦ οἰκοῦσι. Τοῦτό ἐστι τὸ ἄκρον ἐφετὸν τῶν Ἰν-

---

(1) Αὕτη ἐστὶν ἡ κυρίως ἀναβίωσις, ἡ μετενσωμάτωσις, ἡ παλιγγενεσία, καὶ ἡ μετεμψύχωσις τῶν Ἰνδῶν ἐν τῇ Γιτᾷ καὶ ταῖς Βέδαις.

(2) Οὐδεὶς ἀγαθὰ πράξας κακῆς τυγχάνει στάσεως.—Ὁ τοιοῦτος (μὴ φθάσας μέχρι θεωρίας) τυχὼν τῆς τῶν δικαίων χώρας, καὶ μείνας ἐν πολλοῖς ἔτεσι, γεννᾶται ἐν οἰκίᾳ ἀγαθῶν καὶ ὀλβίων, καὶ μετὰ πολλὰς γεννέσεις γενόμενος τέλειος (θεωρητικὸς) ἀπολαμβάνει τὴν ἀθανασίαν. Γιτ. κεφ. ζ'. Δίστιχ. 40—47.

δῶν, καὶ τὸ πάνυ ἀγαθὸν τοῦ Πλάτωνος, καὶ τῶν θεοσόφων ὁ ἀνώτατος ὅρος· αὕτη ἐστὶν ἡ βασιλὶς τῶν μαθήσεων, ἣν διδάσκει ἡ ἐπιστήμη τῶν ἐπιστημῶν, ἤτοι ἡ Θεοσοφία καὶ ἡ Ἐποπτική. Δὲν μένει, νομίζω, οὐδεμία πρὸς τὸν ἀναγνώστην ἀμφιβολία περὶ τῆς ταυτότητος τῶν δοξασιῶν, καὶ τῆς μέχρι λέξεως ὁμοιότητος τῶν Ἰνδῶν, καὶ τῶν ἀρχαίων Ἑλλήνων φιλοσόφων.

Ἐκθέσας, ἐν συνόψει, τὰς περὶ Θεοῦ, καὶ Ὀντολογίας δοξασίας, καὶ τὰ περὶ Ἀθανασίας ψυχῆς καὶ παλιγγενεσίας φιλοσοφήματα τῶν ἐπισημοτέρων σχολῶν τῆς Ἑλλάδος· Πυθαγόρου, λέγω, καὶ Πλάτωνος, ἀνοίκειον ἐνόμισα εἰς τὸ εἶδος καὶ τὸν σκοπὸν τῆς παρούσης διατριβῆς, ὅπως βαίνων εἰς τὰ περαιτέρω συγκρίνω τὴν μεταξὺ Βραχμάνων καὶ Στοϊκῶν ἀπάθειαν, τὴν τῶν Γυμνοσοφιστῶν καὶ κυνικῶν σκληραγωγίαν, τὸ ἄκρον ἐφετὸν τοῦ Μιμάνσα, καὶ τὴν εὐδαιμονίαν τοῦ Ἐπικούρου καὶ Ἀριστοτέλους, τὴν θεωρίαν τοῦ Καπίλα, καὶ τὰ ἐποπτικὰ τοῦ Πλάτωνος, τὴν θεοφροσύνην τῶν θεωρητικῶν, καὶ τὴν θεοχρασίαν τῶν Πυθαγορείων, τὸ καθῆκον καὶ νόμιμον, ἤτοι τὴν πρᾶξιν, ἕνεκα τῆς θεωρίας, τοῦ Βεάσα, καὶ τὰς ἠθικὰς ἀρχάς, καὶ τὸν ὑπὲρ αὐτῶν ὑψηλὸν θάνατον τοῦ Σωκράτους. Προσφορωτέρα ἀντὶ τούτων λογισθήσεται ἡ ἔρευνα τῆς, ὡς ἔγγιστα, ἐποχῆς καθ' ἣν ἐγράφη ἡ Γιτά· καθότι ἡ ἐκ τῆς τοιαύτης μελέτης προερχομένη ἀλήθεια πολλῆς μεγαλητέρας ἀξίας καὶ ὠφελείας ἔσεται.

Ἡ ἑνότης τῆς ἐν ἡμῖν λογικῆς οὐσίας, καὶ ἡ ταυτότης τῶν διανοητικῶν αὐτῆς δυνάμεων συνδέουσιν ἰσχυροτέρως, παρὰ πᾶσαν ἄλλην ἐξωτερικὴν αἰτίαν, τὰ ἐπὶ πᾶσαν τὴν γῆν διεσκορπισμένα ἔθνη· ἀλλ' ὁλόκληρα

σειραὶ ἰδεῶν, ὁμοίων πεποιθήσεων, καὶ δοξασιῶν, καὶ φιλοσοφημάτων δεικνύουσιν ἐναργῶς, ὅτι ἐκτὸς τοῦ κοινοῦ τούτου ἐσωτερικοῦ συνδέσμου, ὑπῆρξαν, ἐν τῇ πορείᾳ τοῦ χρόνου, καὶ τυχαῖαι ἄλλαι ἐξωτερικαὶ προσεγγίσεις μεταξὺ τῶν δύο λαῶν, Ἀσιανῶν, λέγω, καὶ Ἑλλήνων. Αἱ μὲν ἐξ Αἰγύπτου καὶ Ἀσίας εἰς τὴν Ἑλλάδα (ὡς εἰκάζεται ἐκ τῶν προῤῥηθέντων) ἀρχαιότεραι· αἱ δὲ τοὐναντίον, μεταγενέστεραι. Πλὴν δὲν δύναταί τις εὐκόλως ἐν τῇ ἀλληλοδιαδόχῳ παλιῤῥοίᾳ καὶ ἀμπότιδι τῶν ἐννοιῶν διακρίναι τὸ ἐγκαταλιμπανόμενον ἑκάστης προϊὸν, μὴ ὑπάρχοντος μάλιστα διακεκριμένου τινὸς χρονολογικοῦ σημείου, ἐν τῷ σκότει τῆς ἀρχαιότητος τῆς μυθικῆς περιόδου (1).

Βαίνων δέ τις ἀναλυτικῶς ἐκ τοῦ γνωςοῦ εἰς τὸ ἄγνωστον πληροφορεῖται, ὡς ἀνωτέρω ἐφάνη, ὅτι ὁ Πυθαγόρας διατρίψας εἰς τὰ ἄδυτα τῶν ναῶν τῆς Αἰγύπτου καὶ τῆς Ἀσίας ἐπέκεινα τῶν τριάκοντα ἐτῶν, καὶ τὰ θεολογούμενα παρὰ τῶν ἐπισημοτέρων τούτων ἐθνῶν ἀκριβῶς γνωρίσας, καὶ τὰ ὑψηλὰ αὐτῶν μυστήρια μυηθεὶς, καὶ τὴν φιλοσοφίαν αὐτοῦ, κατὰ τὴν μαρτυρίαν παλαιῶν καὶ νεωτέρων συγγραφέων, σύνθετον ἐκ τούτων μορφόσας, δεικνύει ἐναργῶς, ὅτι λαβὼν παρὰ τῶν Ἀσιανῶν θεοσόφων, εἰς τὴν Ἑλλάδα μετέφερε τὴν ἔννοιαν τοῦ ἑ ν ὸ ς Θεοῦ, τὰς δύο τ ῶ ν ὄ ν τ ω ν ἀ ρ χ ὰ ς τῆς ἀριθμητικῆς

(1) Εὑρέθην, λέγει ὁ σοφὸς Ἰδελέρος, εἰς τὴν ἀνάγκην ἵν' ἀποβάλω ἐκ τῶν χρονολογικῶν Πινάκων μου τὰ Ἔθνη τῆς Ἀνατολικῆς Ἀσίας: Ἰνδοὺς λέγω, καὶ Σίνας (Κινέζους). Καθότι θελήσας πολλάκις ἵνα ἐξιχνιάσω τὴν χρονολογίαν αὐτῶν, οὐκ ἠδυνήθην. Manuel de Chronogie Mathématique et Technique T. I, p. 5. — Ritter Hist. de la philos. T. I. liv. 2. ch. I. p. 50, 51. μετάφρ. Γαλλ. παρὰ Τισότου.

φιλοσοφίας, τὰ περὶ ἀθανασίας ψυχῆς δόγματα, τὰς περὶ μετεμψυχώσεως καὶ παλιγγενεσίας δοξασίας, τὴν μετὰ θάνατον ὀλβιότητα τοῦ ἀγαθοῦ, τὴν αἰώνιον τιμωρίαν τοῦ κακοῦ, καὶ οὐχ ἧττον τὰς ἀναγκαίας τῶν πεποιθήσεων τούτων συνεπείας, ἤτοι τὴν νέκρωσιν τῶν παθῶν, καὶ τὴν τελείαν τῶν αἰσθήσεων ὑποταγὴν εἰς τὴν κυριαρχίαν τοῦ νοός, καὶ τοῦ ὀρθοῦ λόγου.

Τὰ αὐτὰ περὶ τῶν αὐτῶν ἀντικειμένων ἐφρόνουν οἱ μεταγενέστεροι αὐτοῦ τε καὶ ἐκείνων Πλάτων, καὶ οἱ ὀπαδοὶ τῶν δύο διασήμων σχολῶν, οἱ περὶ τὸν μέγαν Ἀλέξανδρον τὸν πρῶτον εἰσβαλόντα εἰς τὴν ἰνδικήν, ὁ Ἀριστοτέλης, οἱ διάδοχοι στρατηγοί, καὶ οἱ πρῶτοι Ἀλεξανδρινοὶ σοφοὶ μέχρι τοῦ Σωτηρίου ἔτους (1).

Αἱ αὐταὶ δοξασίαι εὑρίσκονται, κατὰ τὸ μᾶλλον καὶ ἧττον ἀνεπτυγμέναι, ἐν τοῖς ἀπομνημονεύμασι τῶν ἀρχαιοτέρων καὶ μεταγενεστέρων Πυθαγορείων· ἐν τῷ Φαίδωνι, τῷ Τιμαίῳ, καὶ λοιποῖς διαλόγοις τοῦ Πλάτωνος, ἐν τῇ διδασκαλίᾳ τῶν μετὰ ταῦτα Ἀκαδημιῶν, καὶ τοῦ Λυκείου· ἐν ταῖς ἀρχαιοτέραις Βέδαις, ὡς καὶ ἐν αὐτῇ τῇ Γιτᾷ. Πᾶν ἑπομένως τὸ ἐν τῇ τελευταίᾳ ταύτῃ περιπλέον, ὡς τὸ περὶ ἐνανθρωπίσεως τοῦ Θεοῦ Βισνοῦ,

(1) Ritter αὐτόθι phil. Ind. partie Anti-Histor.—Νομίζειν γὰρ δὴ τὸν μὲν ἐνθάδε βίον ὡς ἂν ἀκμὴν κυομένων εἶναι . . . , Τὸν δὲ θάνατον γένεσιν εἰς τὸν ὄντως βίον, τὸν εὐδαίμονα, τοῖς φιλοσοφήσασι. Διὸ τῇ ἀσκήσει πλείστῃ χρῆσθαι πρὸς τὸ ἑτοιμοθάνατον· ἀγαθὸν δέ, ἢ κακὸν μηδὲν εἶναι τῶν συμβαινόντων ἀνθρώποις . . . περὶ πολλῶν δὲ τοῖς Ἕλλησιν ὁμοδοξεῖν. Ὅτι γὰρ γεννητὸς ὁ κόσμος καὶ φθαρτός, λέγειν κἀκείνους· ὅ τε διοικῶν αὐτὸν καὶ ποιῶν Θεὸς δι' ὅλου διαπεφοίτηκεν αὐτοῦ . . . Καὶ περὶ σπέρματος δὲ καὶ ψυχῆς ὅμοια λέγεται, καὶ ἄλλα πλείω. Παραπλέκουσι δὲ καὶ μύθους, ὥσπερ καὶ Πλάτων, περί τε ἀφθαρσίας ψυχῆς, καὶ τῶν καθ' ᾅδου κρίσεων, καὶ ἄλλα τοιαῦτα. Περὶ μὲν τῶν Βραχμάνων ταῦτα λέγει· Στράβ. ιέ. §. 59, σελ. 120—121.

καθ' ὃν παρουσιάζεται τρόπον (1) ἐστὶν ἀναντιῤῥήτως νεωτέρα προσθήκη, ἥτις παρεισέφρυσεν ἀκολούθως ἐν αὐτῇ (2).

Τὰ πλεῖστα τῶν ἀρχαίων ἐθνῶν ἐπρέσβευον ἐμφανίσεις θεῶν, καὶ ἡμιθέων ἐξ ἀνθρώπου καὶ Θεοῦ γεννήσεις· ἀλλ' οὐδὲ ἓν ἐξ αὐτῶν ἐπίστευεν ἐνσάρκωσιν Θεοῦ ἐνανθρωπήσαντος εἰς κατάργησιν τοῦ πλεονάσαντος ἐπὶ γῆς κακοῦ, καὶ πρὸς σωτηρίαν τοῦ ἀνθρώπου, ἂν καὶ πολλὰς ἐνσαρκώσεις τοῦ Βισνοῦ παρεδέχθησαν ἀκολούθως οἱ Ἰνδοί (3). Περὶ τοῦ δόγματος τούτου, καίτοι λίαν οὐσιώδους, οὐδόλως γίνεται μνεία εἰς ἅπασαν τὴν ἀρχαίαν Ἑλληνικὴν φιλοσοφίαν καὶ θεοσοφίαν, λαβούσας τὴν ἀρχὴν, καὶ πρόοδον αὐτῶν ἐκ τῆς Αἰγύπτου καὶ Ἀσίας.

Ἡ σύγκρισις μεταξὺ ἀσυγκρίτων, ἐκτὸς τοῦ ἀπρεποῦς, καθαρὰ λογίζεται ἄνοια. Εἰς τοιοῦτον ἀμπλάκημα ὑποπέσει ὁ θέλων παραλληλῆσαι τὰ θεῖα τοῦ χριστιανισμοῦ δόγματα, ὡς πρὸς τὰ μυθοπλάσματα τῶν Ἰνδῶν. Ὁποία τῳόντι, σύγκρισις! ἀφ' ἑνὸς μὲν ὑμνεῖται εἷς Παντοκράτωρ Θεὸς, ὅλως πνεῦμα, ἀλήθεια, ἀγαθότης, λόγος

---

(1) Γιτὰ Κεφ. Δ'. δίστ. 6—7—8. Ὁσάκις, λέγει, πλεονάζει τὸ κακὸν ἐπὶ τῆς γῆς, τότε ἐνανθρωπῶ. Ἴδε καὶ Κεφ. Γ'.

(2) Εὐχῆς ἔργον, λέγει ὁ ἔνδοξος Οὑμβόλδος, ἂν ἡ Γιτὰ εὑρίσκετο καὶ τὴν σήμερον εἰς τὴν πρώτην καὶ ἀρχικὴν αὐτῆς ἁπλότητα. Τότε ἠδυνάμεθα διακρίναι τὰς θεοσοφικὰς δοξασίας τῶν ἀρχαίων Ἰνδῶν. Mem. del'Acad. de Berlin 1826 p. 51. Ἐξ οὗ γίνεται δῆλον ὅτι ἡ Γιτὰ, κατὰ τὸν σοφὸν τοῦτον ἄνδρα, ἔλαβε πολλὰς καὶ παντοίας μεταγενεστέρας προσθήκας παρὰ τῶν ἀντιγραφέων, καὶ ὑπομνηματιστῶν Βραχμάνων.

(3) Γιτὰ Κεφ. Β'. διστ. 12. καὶ Κεφ. Δ'. διστ. 5—6—7—8. Πολλαὶ γεννήσεις ἐμοῦ ἐγένοντο, ὅταν γὰρ (λέγει ὁ Βισνοῦς) τῆς μὲν εὐνομίας μείωσις γένηται, τῆς δὲ ἀνομίας αὔξησις, τότε ἐγὼ ἐνσαρκοῦμαι. Γίνομαι δ' ἄνθρωπος ἐν ἑκάστῳ αἰῶνι, εἰς διατήρησιν μὲν τῶν ἀγαθοποιῶν, εἰς ὄλεθρον δὲ τῶν κακοποιῶν, τοῦ δὲ νόμου εἰς σωτηρίαν.

ἱερὸς καὶ ἀθέσφατος, δημιουργῶν ἐκ τοῦ μὴ ὄντος τὴν μηδόλως πρότερον ὑπάρχουσαν ὕλην· καὶ ἀφ' ἑτέρου Θεὸς—ὕλη, ἀποχωρίζων ἐκ τῆς ἰδίας αὐτοῦ οὐσίας τὴν συνάναρχον πρὸς κοσμογονίαν ὕλην, καὶ οὐχ ἧττον τὴν ἐν τρισὶ δυνάμεσι κόσμικὴν μονάδα, ἢ Τριμουτὴν, τὰ ἀγαθὰ καὶ πονηρὰ πνεύματα, τὴν ἀμετάβλητον καὶ μεταβλητὴν, τὴν ἄφθαρτον καὶ φθαρτὴν φύσιν! Τί κοινὸν μεταξὺ τῆς ὑψηλῆς πρὸς τὸν πλησίον ἀγάπης, καὶ τοῦ μέχρι κτηνῶν καὶ ἀψύχων οἴκτου τῶν Ἰνδῶν; Κλίνουσιν οὗτοι εἰς τὸν πνευματισμὸν, μάλιστα μετὰ τὴν θρησκευτικὴν αὐτῶν μεταῤῥύθμησιν· ἀλλὰ καὶ τὸ πνεῦμα καὶ ἡ ὕλη, ἔμψυχα καὶ ἄψυχα, ζῶα καὶ λίθοι ἀποῤῥέουσιν ἀπὸ τὴν οὐσίαν αὐτοῦ τοῦ Θεοῦ, εἰσὶν μέρος τοῦ Θεοῦ, καὶ θεοὶ ἑπομένως λογίζονται· καθότι, κατὰ τὸν Πανθεϊσμὸν, ὁ Θεὸς ἐστὶ τὸ ςοιχεῖον τῶν ὄντων. Οὗτοι, θεοποιήσαντες τὴν ὕλην, καὶ ὑλοποιήσαντες τὸν Θεὸν αὐτῶν, ἐσύγχισαν τὴν ἀρετὴν καὶ κακίαν, τὴν ὑλικὴν καὶ νοερὰν θυσίαν, καὶ ἐμηδένισαν τὸν ὑψηλὸν βαθμὸν τῆς αὐταπαρνήσεως, εἰς ὃν φθάνει ἡ χριστιανικὴ τελειότης. Πρὸς τί ὁ τοσοῦτος πόλεμος τῶν θεωρητικῶν Ἰνδῶν, κατὰ τῆς ὕλης καὶ τῆς σαρκὸς, ἐν ᾧ καὶ ἡ ὕλη ἐστὶ Θεὸς, καὶ ὁ Θεὸς ὕλη; Καὶ οἱ θεοὶ ἄνθρωποι, τρώγοντες τὸν Θεὸν πρόβατον, καὶ τοῦτο τὸν Θεὸν χόρτον τρέφονται, διατηροῦνται, καὶ τὰ εἴδη διαιωνίζουσιν! Ἥμαρτεν ὁ πρωτόπλαστος παραβὰς τὴν θείαν ἐντολὴν, καὶ κατεδικάσθη. Ὁ δὲ ἐκ πατρὸς ἀχρόνως, καὶ ἐκ μητρὸς χρονικῶς, ὑπερούσιος λόγος ἐνηνθρώπησε, μὴ ἐκςὰς τῆς θεότητος, κατὰ τὴν προαιώνιον θείαν βούλησιν, καὶ τὸν Ἀδὰμ σὺν τοῖς ἀπογόνοις αὐτοῦ ἀναπλάττει, ὡς ὑπεράγαθος.

Πολλάκις, καὶ εἰς παντοίας περιστάσεις ἐνσαρκοῦται καὶ ὁ παρ' Ἰνδοῖς Θεὸς Βισνοῦς· καὶ εἰς μὲν τοὺς Προφήτας, παράγει τὰς Βέδας, εἰς δὲ τοὺς Μανοὺς τὰς θεσμοθεσίας (1)· ἐνσαρκοῦται τετραπρόσωπος ἐπὶ τῆς Βασιλείας τοῦ Δασσαράτα, καὶ διαμερίσας ἑαυτὸν ᾤκησε τετραειδὴς ἐν τρισὶ γαστράσι, εἰς τὰς τρεῖς δηλονότι γυναῖκας τοῦ Δασσαράτα (2). Οὕτως ἐγεννήθη ὁ Βισνοῦς-Ῥάμας ἀπὸ τὴν μίαν, ὁ Βισνοῦς-Βαράτας ἀπὸ τὴν ἄλλην, καὶ ὁ Βισνοῦς-Λαξμάνας καὶ Σατρούγνας ἀπὸ τὴν τρίτην. Ὁ δὲ ἐνσαρκωθεὶς τετραειδὴς οὗτος Θεὸς καταβάλλει τὸν κακοποιὸν Ῥαβάναν. Μετὰ δὲ τὴν νίκην, ὑποπτευθεὶς ἀδίκως, ἀποβάλλει ἀπανθρώπως τὴν σώφρονα αὑτοῦ γυναῖκα, καὶ ἀποθνήσκει ὕστερον ἐν ἀθυμίᾳ μεταμεληθείς. Ἐνσαρκοῦται πάλιν εἰς τὴν οἰκογένειαν τῶν Πανδοΐδῶν ὑπὸ τὴν μορφὴν τοῦ Κρισνᾶ, καὶ νικᾷ τοὺς συγγενεῖς αὐτοῦ Καουραβάς (3)· ἀλλ' ἐν τῇ αὐτῇ ἐνσαρκώσει ἓν μέρος τοῦ Θεοῦ φαίνεται δικαιότερον (τὸ ὑπὸ τὴν μορφὴν τοῦ Βαράτα, καὶ Ἰουδιστίρα)· ἓν ἕτερον ἀνδρειότερον (τὸ ὑπὸ τὴν τοῦ Ῥάμα καὶ Ἀρζούνα)· ἓν ἄλλο, ἀγέρωχον (τὸ ὑπὸ τὴν τοῦ Βῆμα)· καὶ ἄλλο σοφὸν (τὸ ὑπὸ τὴν τοῦ Λαξμάνα καὶ Νακούλα). Ἐνσαρκοῦται εἰς τὸν Βούδδαν, κατὰ τὴν

---

(1) Ὁ Μωϋσῆς, καὶ οἱ Προφῆται εἰσὶ θεοφώτιστοι· οὐχὶ δὲ καὶ θεοὶ ἐνσαρκωθέντες, ὡς ἐν τῇ Ἰνδίᾳ.

(2) Ἴδε τὰ προλεγ. τοῦ Γορρεσίου εἰς τὴν Ῥαμαϊάναν. Καὶ τὰ τῆς Βαλαβαράτας σελ. μ'. Καὶ αὐτὴν τὴν Ῥαγκοῦ Βάσαν ἣν δημοσιεύσομεν ἀκολούθως, ἂν αἱ περιστάσεις συγχωρήσωσι τὴν ἐκτύπωσιν αὐτῆς.

(3) « Οἱ ἀναιρεθέντες, λέγει ὁ Βραχμᾶς πρὸς τὸν Βισνοῦν ὑπὸ σοῦ δαίμονες » εἰς ἄνεσιν τοῦ Οὐρανοῦ, ἐνσαρκωθέντες ταράττουσι τὴν Γῆν. Ἐνανθρώπησον » σεαυτὸν καὶ ἀπάλλαξον καὶ αὐτὴν τούτου τοῦ δεινοῦ. » Ἴδε Βαλαβ. περίλ. ἡμέρα πέμπτη σελ. μ'.

Γιτὰν-Γοβίνδα, καὶ πάλιν ἐνσαρκοῦται εἰς τὴν παροῦσαν Γιτὰν Βαγαβάταν. Ἐνταῦθα ὑπερτερεῖ ὁ Βραχμανισμὸς, ἐκεῖ ὁ Βουδδισμός· ὥστε ὁ αὐτὸς Θεὸς φαίνεται ποτὲ μὲν ἀνατρέπων, ἄλλοτε δ' ὑποστηρίζων, καὶ ἐνίοτε συμβιβάζων τὰς δοξασίας, καὶ τὰ δόγματα τῶν δύο ἀντιφερομένων μερῶν (1). Καὶ νῦν μὲν δίκαιος, ἄλλοτε δὲ ἀνδρεῖος, καὶ ἐνίοτε σοφός· κ.τ.λ. παρουσιάζεται ὁ αὐτὸς Θεὸς, ἐνσαρκούμενος, ὡς ὁ ἴδιος λέγει, εἰς ἕκαστον αἰῶνα. Ἐν ἑνὶ λόγῳ πᾶς βασιλεὺς, στρατηγὸς, ἥρως, φιλόσοφος, νομοθέτης, ἢ ὅσιος εὐδοκιμήσας ἐν τῇ Ἰνδίᾳ, ὡς μία τῶν πολυαρίθμων, καὶ πολυειδῶν ἐνσαρκώσεων τοῦ Βισνοῦ παρὰ τῶν Ἰνδῶν λογίζεται. «Πολλὰς, λέγει, ἔλαβον εἰς τὸ παρελθὸν, καὶ πολλὰς λήψομαι εἰς τὸ μέλλον γενήσεις καὶ ἐνσαρκώσεις» (2). Μυρίας τοιαύτας τερατώδεις ἐνσαρκώσεις ἠδύνατό τις ἵνα ἐπιφέρῃ, ἂν ἡ τοιαύτη παρέκβασις ἐσυγχωρεῖτο (3).

Ἐν τούτοις ἡ Γιτὰ, περὶ ἧς ἤδη ὁ λόγος, θεωρεῖται ὡς ἐπεισόδιον τῆς Μαχαβαράτας, καὶ ὡς ἔργον τοῦ αὐτοῦ

---

(1) Γιτὰ Κεφ. Β'. διατ. 40—45.

(2) Γιτὰ Κεφ. Δ. καὶ Κεφ. Ι.

(3) Οὕτως, λέγει ὁ σοφὸς Λάσσενος, ὁ Ῥάμας ἐν τῇ Ῥαμαϊάνᾳ, καὶ ὁ Κρισνᾶς ἐν τῇ Μαχαβαράτᾳ, καὶ ἑπομένως ἐν τοῖς ἐπεισοδίοις αὐτῶν, ἐθεωρήθησαν, καὶ μεταγενεστέρως ἐπιστεύθησαν ὡς ἐνσαρκώσεις τοῦ Θεοῦ Βισνοῦ ἤτοι Θεοῦ-Ἥρωος. Lassen indische Alterthumskunde. T. I. part. I. p. 488.

Così Rama nel Râmâyana, come Krishna nel Mahâ-Brârata, forse in tempi più tardi, furono riguardati e introdotti colla qualità di avatâri, e discese in corpo umano di Vishuu, Dio penetrante e conservatore, fatosi umano eroe.

Due Episodii di Pœmi indiani· da Pietro Giuseppe Maggi. Pref. pag. IX. — «Γίνωσκε τὸν Βεάσαν μέγαν Θεόν. Τίς γὰρ ἄλλος ἠδύνατο ποιῆσαι τὴν Μαχαβαράταν, εἰ μὴ ὁ Θεὸς Ἰτιχασασαμουτσαΐα δίς. 4.»

ποιητοῦ, ἤτοι τοῦ Βεάσα· ἀλλ' ὑπάρχει μεγίστη διαφορὰ μεταξὺ τοῦ ἐπικοῦ ποιήματος καὶ τοῦ ἐπεισοδίου. Ἀφ' ἑνὸς παρατηρεῖται ἀρχαϊκὴ ἁπλότης τοῦ διανοεῖσθαι καὶ ἐκφράζεσθαι, ἥτις δηλοποιεῖ τὴν νεανικὴν, ἢ μᾶλλον εἰπεῖν, νηπιώδη κατάστασιν τοῦ ἀνθρώπου, ἢ τοῦ Ἔθνους· καὶ ἀφ' ἑτέρου κομψότης ποιήσεως, ἐννοίας καὶ ῥυθμοῦ, αἵτινες καταδεικνύουσι τὴν μεταγενεστέραν αὐτοῦ πρόοδον. Τὸ αὐτὸ παρατηρεῖται εἰς τὴν Γιτὰν-Γοβίνδαν, καὶ τὸ ἕτερον ἐπεισόδιον τῆς Μαχαβαράτας Ἰτιχασασαμουτσαία καλούμενον(1). Τὰ ἐπεισόδια ταῦτα διαφέρουσι τοῦ ἐπικοῦ ποιήματος, οὐ μόνον κατὰ τὸν σχηματισμὸν τῆς γλώσσης καὶ τῶν ἰδεῶν, ἀλλὰ καὶ κατὰ τοὺς μύθους, τὰς ἀλληγορίας, τὰς δοξασίας, καὶ αὐτὰ πολλάκις τὰ δόγματα· ἐξ οὗ εἰκάζεται, ὅτι ἡ Μαχαβαράτα, καὶ τὰ διάφορα αὐτῆς ἐπεισόδια εἰσὶν ἔργα, οὐχὶ μιᾶς καὶ τῆς αὐτῆς ἐποχῆς, οὐδ' ἑνὸς καὶ τοῦ αὐτοῦ συγγραφέως(2), ἀλλὰ συλλογὴ διαφόρων συγγραμμάτων, παντοίων ἐποχῶν, καὶ πολλῶν συγγραφέων, ὡς φρονοῦσιν οἱ πλεῖστοι τῶν ἰνδολόγων Ἄγγλων, Γερμανῶν, Γάλλων, καὶ Ἰταλῶν(3). Διὸ καὶ ἡ Ῥαγκοῦ Βάνσα, συγγραφεῖσα παρὰ τοῦ Καλιδάσα, συγχρόνου σχεδὸν τῆς τοῦ Χριστοῦ γεννήσεως, θεωρεῖται ὡς ἐπεισόδιον τῆς Ῥαμαϊάνας,

(1) Τουτέστιν ἀρχαιολογίας συλλογὴ, ἢ περὶ διαλόγων τε καὶ μύθων φιλοσοφικῶν, νομίμων τε καὶ ἐθίμων Ἰνδικῶν, συλλεγθέντων κατ' ἐκλογὴν (μεταγενεστέρως) ἐκ τῆς Μαχαβαράτας, βίβλου παλαιᾶς, φιλοσοφικῆς τε καὶ ἱστορικῆς, συγγραφείσης ὑπὸ τοῦ φιλοσόφου Βεάσα. Πρόδρ. Ἰνδ. μετάφρ. Καταλ. σελ. μ'.

(2) Ὡς ἐκφράζεται ὁ συγγραφεὺς τῆς Ἰτιχασασαμουτσαΐας. Κεφ. Α'. δίστ. 7.

(3) Προλ. Βαλαβ. καὶ προλεγ. Ῥαμαϊάνας παρὰ Γορρεσίου. Heern T. III. Consid. Sur le Ramajana et la Machabarata. Ritter Hist. dela philos T. I. partie Ant.-histor.

συνταχθείσης πολλὰς ἑκατονταετηρίδας πρότερον παρὰ τοῦ Ὁμήρου τῆς Ἰνδίας Βαλμίκη (1). Ἡ δὲ Γιτά, ῥυθμίζουσα τὰς ἀρχαίας πεποιθήσεις τῶν Βεδῶν· ἀνατροῦσα δὲ, ἡ συμβιβάζουσα πολλὰς μεταγενεστέρας θεοσοφικὰς δοξασίας, φανερόνει πρῶτον, ὅτι ἐστὶ λίαν νεωτέρα τῆς Μαχαβαράτας, τῆς ὁποίας λέγεται ἐπεισόδιον, καὶ δεύτερον, ὅτι τὸ κείμενον δὲν ἔχει τὴν ἀρχικὴν αὐτοῦ ἁπλότητα· ἀλλ' ὅτι λαβὸν πολλὰς μετὰ ταῦτα προσθήκας παρὰ τῶν ἀντιγραφέων καὶ ὑπομνηματιστῶν Βραχμάνων, τελειοποιεῖ, οὕτως εἰπεῖν, τὰς ἐν τῷ ἐπικῷ ποιήματι θεοσοφικὰς δοξασίας (2).

Λαμβάνων δέ τις, πρὸς πλειοτέραν σαφήνειαν, τὴν ἐποχὴν τοῦ Βασιλέως Βικραμαδιτία, συμπίπτουσαν κατὰ τὸ 56 ἔτος πρὸ τῆς Χριςοῦ γεννήσεως, ὡς ἐγνωσμένον χρονολογικὸν σημεῖον, δύναται ἵνα διακρίνῃ τέσσαρας, ὡς ἔγγιστα, φιλολογικὰς περιόδους τῆς Ἰνδίας, δύο π. Χ. καὶ δύο μ. Χριστόν· αἱ πρῶται, ὡς ἀβέβαιοι, θεωροῦνται μυθικαί· αἱ δεύτεραι, ἱστορικαί.

Αʼʸ Εἰς μὲν τὴν πρώτην, τὴν ἀρχαιοτέραν, ἀνήκουσιν αἱ ἱεραὶ τῶν Ἰνδῶν βίβλοι, καλούμεναι Βέδαι, καὶ αἱ τῶν Μανοῦ θεσμοθεσίαι (3)· ὡς καὶ παρ' Ἕλλησιν ἡ ἐποχὴ τοῦ

(1) Ἰδὲ πρόλεγ. Ῥαμαϊάνας παρὰ Γορῥεσίου. Καὶ τὸ προοίμιον τῆς Ῥαγκοῦ Βάνσας εἰς ὃ κηρύττει ὁ Καλιδάσας, ὅτι πρὸ αὐτοῦ ἄλλος ποιητὴς (ὁ Βαλμίκης) ἐξιστορήσας τὴν γενεαλογίαν τοῦ Ῥάμα προητοίμασε τὴν ὁδὸν αὐτοῦ.

(2) Ritt. αὐτ. — Ἡ Βαράτα ἡ Μαχαβαράτα, ἡ ἀναφυεῖσα ἐκ τῆς τοῦ Βράχμα γλώττης, ὡς ὁ Λωτὸς ἐκ τῆς λίμνης, καὶ ἔχουσα ὡς μεγάλην εὐωδίαν τῶν [illegible]τάν, καὶ ὡς κόνιν τοῦ ἄνθους τὰς πολυειδεῖς ἀφηγήσεις κ.τ.λ. Ἰτιχασα[illegible]τσαΐα Κεφ. Α'. δίστ. 2—7. (χειρόγραφον ἀνέκδ.)

(3) Κατὰ μὲν τὸν Jones 1500 π. Χ. Κατὰ δὲ τὸν Kolebrooke 1400. Asiat. res V. p. 288. καὶ VII. p. 283. Adel. Bil. Sans. σελ. 111.

Ὀρφέως καὶ Μουσαίου, τοῦ Μίνωος καὶ Ῥαδαμάνθυος.

Β^{ον}. Εἰς δὲ τὴν δευτέραν μυθικὴν περίοδον ἀνήκουσι τὰ δημοτικὰ ἄσματα, ἐξ ὧν τὰ ἐπικὰ ποιήματα Ῥαμαϊάνα καὶ Μαχαβαράτα (1), ὡς ἡ παρ' Ἕλλησι περίοδος τῶν Ῥαψῳδῶν καὶ τοῦ Ὁμήρου.

Γ^{ον}. Εἰς δὲ τὴν τρίτην (πρώτην ἱστορικὴν τὴν τοῦ Βικραμαδιτία) ἥτις ἄρχεται τὸ 56 ἔτος π. χ. καὶ προχωρεῖ μέχρι τῆς τρίτης καὶ τετάρτης ἑκατονταετηρίδος μετὰ Χριστόν· εἰς αὐτὴν, λέγω, ἤκμασεν ἡ δραματικὴ ποίησις, ὁ Καλισάσας, οἱ ἐννέα σοφοί, ὁ Βατριχαρὴς (2) αἱ κυριώτεραι θεοσοφικαὶ σχολαί· κ.τ.λ. ὡς ἡ παρ' Ἕλλησι περίοδος τοῦ Σοφοκλέους καὶ τῶν Σωκρατικῶν.

Δ^{ον}. Εἰς δὲ τὴν τετάρτην, ἥτις ἄρχεται ἀπὸ τοῦ τέλους τῆς προλαβούσης, καὶ προχωρεῖ μέχρι τοῦ μεσαιῶνος, ἤκμασαν οἱ γραμματισταὶ καὶ λεξικογράφοι, οἱ ὑπομνηματισταὶ καὶ σχολιασταὶ τῶν κλασικῶν συγγραμμάτων τῶν προλαβουσῶν περιόδων (3)· ὡς καὶ ἡ παρ' ἡμῖν Ἀλεξανδρινὴ Σχολή.

Ἂν ἡ κατ' ἀνάγκην αὕτη διαίρεσις στερεῖται μαθηματικῆς ἀκριβείας, δεικνύει τοὐλάχιστον διακεκριμένα τινὰ χρονολογικὰ σημεῖα ἐν τῷ σκότει τῆς ἀβεβαιότητος τῶν διαφόρων περιόδων.

Ἐρευνῶν τις τὰς Βέδας, εὑρίσκει, κατὰ τὴν ὁμολογίαν

(1) Ὅρα τὰ προλ. τῆς Ῥαμαϊάνας τοῦ Γορρεσίου Τ. III. Εἰς αὐτὰ ἀναφέρει ὁ Ἰταλὸς Ἰνδολόγος τὰς περὶ τῶν ἐπικῶν τούτων ποιημάτων γνώμας τῶν σοφῶν Λασσένου καὶ Εὐγ. Βυρνουφίου.

(2) Πρόδρομος Ἰνδικῶν Μεταφρ. σελ. 3—4 σχ. 2. Ritter. αὐτόθι.

(3) Τὴν διαίρεσιν ταύτην παρεδέχθησαν καὶ Ἥρενος, καὶ Ῥίντερος, καὶ οἱ πλεῖστοι τῶν Ἰνδολόγων.

τῶν σοφωτέρων Ἰνδῶν τε καὶ ἰνδολόγων Εὐρωπαίων διαφορὰς ἐπισήμους εἰς τὸ σύνολον τοῦ κειμένου, ἕνεκα τῆς προσθήκης νεωτέρων γραφῶν, οὐ μόνον τῶν δύο πρώτων, ἀλλὰ καὶ τῶν δύο μεταγενεστέρων περιόδων· ἀρχαῖον παρ. χαρ. ἐστὶ τὸ ἐν ταῖς Βέδαις δόγμα τοῦ Πανθεϊσμοῦ, καὶ ἡ λατρεία τῶν φυσικῶν δυνάμεων (1)· ἀλλ' αἱ ἐν αὐταῖς προσευχαί, αἱ ἱεροπραξίαι, οἱ ὕμνοι, αἱ ἐξηγήσεις, αἱ ἱερατικαὶ διατάξεις, οἱ κανόνες, καὶ τὰ στοιχεῖα τινῶν ἐπιστημῶν φανερόνουσιν ἀναμφισβητήτως τὴν μετὰ ταῦτα πρόοδον τοῦ νοὸς εἴς τε τὴν θεοσοφίαν, τὴν φιλολογίαν, καὶ τὰς ἐπιστήμας. Οἱ ἐπιστημότεροι τῶν Βραχμάνων θεωροῦσι τὴν τετάρτην Βέδαν, πολλὰ μεταγενεστέραν τῶν τριῶν ἄλλων, ἂν καὶ αὐταὶ πλουτοῦσιν ἀπὸ νεωτέρας προσθήκας (2). Ἡ δὲ Ἐζοὺρ Βέδα (Ezour-Vedam) ἐξηλέγχθη ὡς πόνημα τῆς δεκάτης ἕκτης, μετὰ Χριστόν, ἑκατονταετηρίδος, συνταχθὲν, ὡς λέγουσι, πρὸς εὐκολωτέραν διάδοσιν τῆς χριστιανικῆς πίστεως (3).

---

(1) Ὁ Βραχμᾶς παρίστησι τὴν Γῆν, ὁ Βισνοῦς τὸ ὕδωρ, καὶ ὁ Σίβας τὸ πῦρ. Gruber Λεξ. Brahme σελ. 316.

(2) Transact of the Royal soc. T. I. p. 448 Colebrooke on the Vedas. p. 382. Κατὰ τὴν κοινοποίησιν τοῦ σοφοῦ συγγραφέως τῶν Δήμων τῆς Ἀττικῆς Κυρίου Λεακίου (K. M. Leake) καὶ τοῦ Κυρίου Κλάρκου, ἡ ἐν Λονδίνῳ Ἀσιατικὴ ἑταιρία ἐδωρήσατο ἡμῖν καλοκἀγάθως τὴν συλλογὴν τῶν ἀπομνημονευμάτων αὐτῆς, δῶρον τῳόντι πολύτομον καὶ πολύτιμον, περὶ οὗ ὁμολογοῦμεν ἄπειρον καὶ βαθεῖαν πρὸς αὐτὴν εὐγνωμοσύνην.

(3) Adelung. Ribl. Sansc. σελ. 120—121. Ἔνθα διορίζων τὴν ἐποχὴν, ἤτοι τὸ 1620 ἔτος, ὑποθέτει ὅτι ὁ συγγραφεὺς αὐτῆς ἐστιν ὁ Ἱερεὺς Ῥοβέρτος de Nobili.—Ἴδε καὶ Ἑρμην. τῆς Παλαιᾶς Θείας Γραφῆς τῶν Ο΄, παρὰ τοῦ σοφοῦ Ἱεροδιδασκάλου Κωνστ. Οἰκονόμου T. II. βιβλ. ΙΙ. Κεφ. [illegible] Wilemam Discoures sur les rapports entre la science et la Relig révél. XI. p. 421. —L'Ezour-Vedam, ou anciens Commentaires du Vedam. Contenant l'exposition des opinions religieuses et philosophiques des

Τὴν αὐτὴν ἰδέαν ἔχουσιν οἱ κριτικοὶ Ἰνδολόγοι περὶ τῶν θεσμοθεσιῶν τοῦ Μανοῦ (1), οὐ μόνον ἕνεκα τῆς ἐλλείψεως, εἴς τινα αὐτῶν μέρη, ἀρχαϊκῆς ἁπλότητος, ἑνότητος, καὶ συναρμολογίας· ἀλλὰ καὶ ἕνεκα τῆς διαφορᾶς τῶν νόμων, καὶ τῆς ποινῆς τῶν ἁμαρτημάτων κατὰ τὰς περιστάσεις, καὶ τὴν πρόοδον τοῦ κοινωνικοῦ βίου (2). Εἰς τὴν νομικὴν ταύτην συλλογὴν παρατηρεῖται νῦν μὲν ἁπλότης ἀνάλογος τῆς νηπιώδους καταςάσεως τοῦ λαοῦ· νῦν δὲ πολιτισμὸς τελειότερος· καὶ ἀλλαχοῦ πάλιν εἰκάζεται ἐξ αὐτῶν τῶν νόμων μεγίστη διαφθορά, ἥτις προσκάλεσεν αὐστηροτέρας ἀστυνομικὰς διατάξεις. Εἴς τινα μέρη γίνεται μνεία περὶ τῶν φιλοσοφημάτων Νιάγα, καὶ Μιμάνσα, ἅτινα δὲν ἀνήκουσι βεβαίως εἰς τὴν νηπιώδη κατάστασιν τῆς κοινωνίας. Δικαίως οὖν ὀνομάζουσι τὰς θεσμοθεσίας ταύτας ἕνωσιν συγγραμμάτων παντοίας φύσεως, καὶ συλλογὴν νόμων διαφόρων ἐποχῶν (3)· ὥστε αἱ θεσμοθεσίαι τοῦ Μανοῦ, ὡς καὶ αἱ Βέδαι, εἰσὶ συλλογαὶ διαφόρων νοημάτων, ἐποχῶν, καὶ συγγραφέων.

Τὰ δὲ ἐπικὰ ποιήματα (Ἰτιχάσα) εἰσὶν ἀπροσδιορίστου

Indiens. Traduit du Samseretan par un Brame (à Rondichery). Revu et publié (par le Baron de Sante-Croix) avec des observations préliminaires, des notes et des éclaircissemens. Yverdnm 1778, 2. vol. 12,

(1) Κατὰ τὸν Jones καὶ Adelung 1200 Π. Χ. Βιβλ. Σασκρ. σελ. 161.

(2) Iones preface aux Instit de Manou p. 12. — Ritter αὐτόθι. — Schlosser precis de l'Hist. univers. anc. part. I. p. 124.

(3) C'est une Collection d'un grand nombre d'écrits de differentes natures et époques: un recueil des Lois. Ritter αὐτ. σελ. 64—69. — Συστήματα νόμων Δεσποτισμοῦ, καὶ Ἱεροκρατίας. λέγει ὁ Adel. αὐτ. 162. — Jones Works, vol. I. p. 58—59. Αἱ θεσμοθεσίαι τοῦ Μανοῦ ἐμπεριέχονται εἰς 12 βιβλία. Ἴδε Analysis of the Code of Menu-im Asiat. jour. vol. XXIV. p. 580—728. Adel. αὐτ. σελ. 163.

μὲν ἐποχῆς, ἀρχαῖα δὲ καθότι ὁ Καλιδάσας (56 π. Χ.) συνηρμολόγησε καὶ διέταξε τὰ διάφορα ᾄσματα τῆς Ῥαμαϊάνας (1). Ἀλλὰ τὰ ἐπεισόδια αὐτῶν, τοσοῦτον διαφέροντα τῶν ἡρωϊκῶν ποιημάτων, εἰσὶν ἀναντιῤῥήτως μεταγενέστερα, καὶ διαφόρων ἐποχῶν, καὶ συγγραφέων ἀπόδειξις, ὡς ἐῤῥέθη, ἡ Ῥαγχοῦ-Βάνσα, καί τοι πολλοὺς αἰῶνας μεταγενεστέρα τῆς Ῥαμαϊάνας, ἐπεισόδιον αὐτῆς λέγεται, ὡς ἡ Ἰτιχασασαμουτσαία τῆς Μαχαβαράτας. Αὕτη δὲ ἡ Μαχαβαράτα οὐ μόνον ἐστὶ νεωτέρα τῆς Ῥαμαϊάνας, εἰς πολλὰ μιμουμένη τὸ τελευταῖον τοῦτο ποίημα, ὡς ἡ Αἰνιάς, τὴν Ἰλιάδα· ἀλλὰ καὶ ἕνεκα τοῦ φιλοσοφικοῦ χαρακτῆρος τῶν ἐπεισοδίων. Ἡ μὲν ἀρχαϊκὴ ποίησις τῆς ἔριδος τῶν δύο Σεληνογενῶν οἰκογενειῶν, Πανδοϊδῶν, λέγω, καὶ Κουραβῶν, ἐστὶν ἀρχαία· τὰ δὲ ἐπεισόδια τῆς Μαχαβαράτας σχηματίζοντα, κατὰ τὸν σοφὸν Βόππιον, μυθολογικὴν, φιλοσοφικὴν, ποιητικὴν, καὶ ἱστορικὴν Ἐγκυκλοπαιδείαν, εἰσὶν ἄνευ ἀμφιβολίας, συλλογαὶ πολλῶν συγγραμμάτων, διαφόρων ἐποχῶν, πλατυτέρας διανοητικῆς ἀναπτύξεως, παντοίων δοξασιῶν, καὶ πολλῶν συγγραφέων φιλοπονήματα (2). Διαφέρει

(1) Ἴδε τὰ προλεγ. τοῦ Γοῤῥεσίου εἰς τὴν Ῥαμαϊάναν Τόμ. πρῶτον, καὶ τρίτον. Αὐτὴ ἡ Ῥαμαϊάνα ἔλαβε, φαίνεται, μεταγενεστέρας προσθήκας. Lassen indische Alterthumskunde pag. 501, καὶ ἐφεξῆς. Ὁ δὲ Γοῤῥέσιος λέγει. Che il pœma non sia pervenuto a noi, quale egli usci della mente del Cantor primo; che esso siasi venuto modificanto nell'attraversar delle età; Che siano intrati ed incorporatisi in esso nuovi elementi, tutto ciò non solamente il credo indubitabile; ma mi sono adoperato a dimostrarlo altrove. Γοῤῥ. προλ. εἰς Ῥαμαϊάναν. Τ. Ι. καὶ Τ. ΙΙΙ. σελ. 32.

(2) Τὰ αὐτὰ ἔγραφε πρὸς ἡμᾶς καὶ ὁ ἐκδότης τῆς Ῥαμαϊάνας Κ. Γοῤῥέσιος. « Ἡ Μαχαβαράτα δὲν εἶναι ποίημα οὔτε ἑνὸς μόνου ἀνθρώπου, οὔτε μιᾶς ἐποχῆς. Τὰ πολλὰ αὐτῆς ἐπεισόδια, διαφέροντα κατὰ τὸν σχηματισμὸν τῆς γλώσ-

ἄρα, ἡ ἀρχαιότης τῆς Μαχαβαράτας, καὶ ἡ τῆς Γιτᾶς. Ἑτέρα ἡ ἐποχὴ τοῦ ἐπικοῦ ποιήματος, καὶ ἑτέρα ἡ τοῦ θεοσοφικοῦ διαλόγου τοῦ ἐπεισοδίου. Ἁπλότης, αὐθόρμητος ποίησις, ἀρχαϊσμὸς ἰδεῶν, κ.τ.λ. εἰσὶ τὰ πλεονεκτήματα τοῦ ἡρωϊκοῦ ποιήματος. Ῥυθμὸς, κομψότης ποιήσεως, γραμματικὴ καὶ μετρικὴ τελειοποίησις (1), μεταφυσικὴ καὶ ἠθικὴ ἐπιστήμη, μνεία τῶν πρὸ τῆς Γιτᾶς πολλῶν θεοσοφημάτων, καὶ φιλοσοφικῶν συστημάτων κ.τ.λ. φανερόνουσι πολυχρόνιον πρόοδον, καὶ τὴν μετὰ ταῦτα ἐπιστημονικὴν καὶ διανοητικὴν ἀνάπτυξιν τῶν Ἰνδῶν θεοσόφων.

Οὕτω καὶ αἱ Πουράναι περιέχουσαι τὴν Ἰνδικὴν θεογονίαν καὶ κοσμογονίαν, τοὺς γενεαλογικοὺς τῶν δυναστειῶν πίνακας, καὶ συνόψεις ἐπιστημῶν Ἰατρικῆς, Νομικῆς, κ.τ.λ. δεικνύουσιν, ἢ ὅτι ἅπασαι εἰσὶ μεταγενεστέρων ἐποχῶν, ἢ ὅτι μεταγενέστεραι προσθῆκαι εἰς αὐτὰς παρεισέφρυσαν. Ἀπόδειξις, ὅτι εἴς τινα μέρη γίνεται ἐν αὐταῖς μνεία περὶ τοῦ Βασιλέως Βόγα, καὶ τῆς καταχτήσεως τῆς Ἰνδίας παρὰ τῶν Μωαμεθανῶν (2). Ὁ δὲ κλεινὸς Κολεμβρώκιος βεβαιοῖ, ὅτι οἱ σοφώτεροι τῶν Βραχμάνων θεωροῦσι τὴν περιβόητον Ῥαγαβάτα Πουράναν, ὡς σύγγραμμα συνταχθὲν περὶ τὴν ἕκτην ἢ ἑβδόμην

σης, κατὰ τὰς ἰδέας, τοὺς μύθους, καὶ τὰ σύμβολα, φανερόνουσιν, ὅτι εἰσὶ ποιήσεις διαφόρων ἐποχῶν καὶ συγγραφέων. » Προλ. Βαλαβαρ. σελ. ιζ', σχ. 1.

(1) Κατὰ Ἀγγλ. μετάφρ. παρὰ Οὐίλκινς σελ. 87. Καὶ Ἑλλην. μετάφρ. Κεφ. Α. δίστ. 76. σχ. ἀρ. 6. Ἡ λέξις Δβάνδβα ἐστὶ σύνθετος δύο κυρίων ἢ προσηγορικῶν ὀνομάτων ἀρσενικοῦ καὶ θηλυκοῦ. Ἡ δὲ λέξις Ῥαμακριανάου ἀριθμοῦ δυϊκοῦ φανερόνει Ῥάμα καὶ Κρισνᾶ δυϊκῶς.

(2) Ῥίττερος: αὐτ. σελ. 74.

Ἑκατονταετηρίδα μετὰ Χριστὸν, παρὰ τοῦ Γραμματικοῦ Βοπαδέβα (1)· ὥστε καὶ αἱ Βέδαι, καὶ αἱ θεσμοθεσίαι, καὶ τὰ ἐπεισόδια τῶν ἐπικῶν ποιημάτων, καὶ μάλιςα ὁ θεοσοφικὸς διάλογος τῆς Γιτᾶς, καὶ αὐταὶ αἱ Πουράναι εἰσὶ συλλογαὶ διαφόρων συγγραμμάτων, συνταχθέντων κατὰ διαφόρους ἐποχὰς παρὰ πολλῶν συγγραφέων σχολιαστῶν, καὶ ὑπομνηματιστῶν, φέρουσαι πρὸς τούτοις καὶ νεωτέρων χρόνων προσθήκας· ὅ ἐστι τὰ κλασικὰ τῶν Ἰνδῶν βιβλία εἰσὶν ἕνωσις ἀρχαίου καὶ νεωτέρου, ἅπερ δυσκόλως διαχωρίσαι καὶ διακρίναι δύναταί τις· ἐπειδὴ ἡ αὐτὴ, ὡς ἔγγιςα, μυθολογία, καὶ τὰ αὐτὰ μυθολογικὰ πρόσωπα συνδέουσιν αὐτὰ, καὶ εἰς τοὺς ὀφθαλμοὺς τοῦ λαοῦ καθιεροῦσι (2). Πόσον κατηνάλωσε χρόνον, καὶ ὁποίους ἀτρύτους κόπους καὶ ἀγῶνας ὑπέστη ἡ Κριτικὴ ἐπιστήμη μετὰ τὴν ἀναγέννησιν τῶν Γραμμάτων ἐν τῇ Εὐρώπῃ, προσπαθήσασα ἵνα διακρινῇ μεταξὺ τῶν ἀρχαίων κλασικῶν Ἑλληνικῶν συγγραμμάτων, τὰ ψευδώνυμα τῶν μεταγενεστέρων πονήματα!

Ἡ δὲ Γιτὰ, περὶ ἧς ἰδίως ὁ λόγος, οὐ μόνον παρουσιάζει ἴδιον θεοσοφικὸν σύστημα, ἀλλ' ὁ συγγραφεὺς αὐ-

(1) Asiat. Recherch. VII. p. 280.

(2) Τὸ αὐτὸ ἀπεδείχθη καὶ ὡς πρὸς τὴν Ἱερὰν Βίβλον τῶν Περσῶν Zend-Vesta, ἣν μετέφρασε, λέγει ὁ σοφὸς Κωνστ. Οἰκονόμος, καὶ ἐδημοσίευσεν ὁ πρῶτος ταύτην κομίσας Anquetil du Perrou (Paris 1757), ὡς παμπάλαιόν τι χρῆμα, καὶ αὐτῶν τῶν Μωσαϊκῶν χρόνων ἀρχαιοτέραν . . . Εὕρηται τέλος σύῤῥαμα δογμάτων τῆς εἰς τὸν ἐπὶ Δαρείου Ζωροάστρην ἀπονεμομένης τῶν Περσῶν μαγικῆς θρησκείας, ἴχνη φέρον πολλαχοῦ, καὶ ἄλλων νεωτέρων χρόνων, καὶ αὐτῆς τῆς Σωτηρίου Ἐποχῆς μεταγενεστέρων. (Περὶ τῶν Ο. Ἑρμ. τῆς Παλαιᾶς Θείας Γραφῆς. Τ. II. σελ. 143. Καὶ σχολ. 6'. σελ. 299—301.) Ἴδε Eugène Burnouf Jour. Asiat 1829. Kai Wissensch. Kritik 1834. Aug. §. 229.

τῆς, γνωρίζων ἀκριβῶς τὰ πρὸ αὐτοῦ ἀκμάσαντα φιλοσοφήματα, τοῦ Μιμάνσα, λέγω, (Γιτὰ Κεφ. Β΄. Δίς. 39. Καὶ Κεφ. ΙΗ΄. Δίς. 34), τοῦ Ζαΐμινῆ (Κεφ. Β΄. Δίς. 43—47), τοῦ Καπίλα (Κεφ. Γ΄. Δίς. 8. Καὶ Κεφ. ΙΗ΄. Δίς. 48—62. σχ. 2), τοῦ Γαουτάμα (Κεφ. ΙΗ΄. Δίς. 19—20—21) κ.τ.λ., τινὰ μὲν ἐξ αὐτῶν ἀναιρῶν, ἕτερα δὲ συμβιβάζων λέγει· « εἰσὶ μὲν δή τινες τῶν κριτικῶν, οἳ λέ-» γουσι τὸ ἔργον τῆς θυσίας, τῆς δόσεως (ἐλεημοσύνης), » καὶ τῆς ἀσκήσεως εἶναι ἄξιον ἀποχῆς, ὡς κακόν· ἕτε-» ροι δὲ πάλιν λέγουσι μὴ εἶναι ἄξιον ἀποχῆς, ὡς καλόν. » Σὺ δὲ ἄκουσον τὴν ἐμὴν γνώμην » (1). Ταῦτα πάντα δεικνύουσιν ἀναμφισβητήτως, οὐχὶ τὴν πρώτην καὶ νηπιώδη κατάστασιν τοῦ Ἔθνους, καὶ τῆς φιλολογίας· ἀλλὰ τὴν μετὰ τὸ ἐπικὸν ποίημα πολυχρόνιον ἀνάπτυξιν τοῦ φιλοσοφοῦντος λογου, καὶ τὴν ἐκ τῆς πολυχρονίου πείρας καὶ παρατηρήσεως ὥριμον καὶ προβεβηκυῖαν σκέψιν τοῦ θεοσόφου Ἰνδοῦ. Γελοῖος, τῳόντι, φανήσεται ὁ θέλων ὑποστηρίξαι, ὅτι ἡ Ὀρφικὴ θεοσοφία, τὰ ἡρωϊκὰ ἔπη τοῦ Ὁμήρου, ἡ ἀριθμητικὴ φιλοσοφία τοῦ Πυθαγόρου, αἱ θεωρίαι τοῦ Πλάτωνος, τὸ ὄργανον τοῦ Ἀριστοτέλους, καὶ τὰ ὑπομνήματα τῶν Ἀλεξανδρινῶν εἰσὶ σύγχρονα, καὶ τῆς αὐτῆς ἐποχῆς φιλοπονήματα, ἀνατρέπων δωρεὰν τὴν βραδεῖαν καὶ φυσικὴν πρόοδον τοῦ ἀνθρωπίνου νοός, καὶ ἑνώνων εἰς μίαν πολλὰς ἐποχάς, ἢ συγχέων εἰς ὀλίγων χρόνων διάστημα, πολλοτάτων, καὶ λίαν διεστώτων αἰώνων ἔργα. Ὥστε ἡ Γιτά, οὖσα πολλὰ μεταγενεστέρα τῆς Μαχαβαράτας, καὶ τῶν κυριωτέρων θεοσοφικῶν συστη-

(1) Γιτὰ ἰδ. ἀνωτέρω.

μάτων, δὲν ἀνήκει εἰς τὴν δευτέραν μυθικὴν τῶν ἡρωϊκῶν ποιημάτων περίοδον· ἀλλ' εἰς τὴν τρίτην τὴν Ἱστορικὴν τοῦ Βικραμαδιτίου, εἰς ἣν ἤκμασε καὶ ἡ δραματικὴ ποίησις, ὡς εἰκάζεται ἐκ τῆς Σακοτάλας, καὶ τῶν λοιπῶν δραμάτων τοῦ Καλιδάσα. ἡ ἀστρονομία τοῦ Βάρα-Μίρα (Waraha-Mihira) (1), ἡ φιλολογία, ἡ φιλοσοφία ἡ συγκεφαλαιοῦσα ἁπάσας τὰς γνώσεις, οἱ γνωμικοὶ ποιηταί, καὶ ἠθολόγοι (2), καὶ αἱ ἐπισημότεραι θεοσοφικαὶ Σχολαί. Διὸ καὶ ὁ σοφὸς Κολεμβρώκιος ἀναφέρει ἐκτεταμένον κατάλογον φιλοσοφικῶν συγγραμμάτων τῆς περιόδου ταύτης, ἅτινα διὰ τῆς μυθικῆς γοητείας παρεισέφρυσαν ἐν ταῖς ἀρχαιοτέραις συλλογαῖς τῶν Βεδῶν, θεσμοθεσιῶν, ἐπικῶν ποιημάτων, καὶ τῶν Πουράνων. Εἰς αὐτὴν οὖν τὴν μ. Χριστὸν τρίτην περίοδον ἀνήκει, ὡς φαίνεται ἐκ τῶν προειρημένων, καὶ ἡ συγγραφὴ τῆς Γιτᾶς. Ἴσως δὲ καὶ εἰς αὐτὴν τὴν τετάρτην αἱ πλεῖσται αὐτῆς προσθῆκαι, ὡς ἐκ τοῦ κειμένου συμπεραίνεται· διότι ὁ συγγραφεὺς αὐτῆς, διερχόμενος μετὰ μέτρου καὶ καλλιεπείας τὰ δόγματα τῶν Βεδῶν, καὶ ἁπάσας τὰς πρὸ αὐτοῦ, ὡς ἐρρέθη, ἠθικὰς καὶ φιλοσοφικὰς δοξασίας, τὰς μὲν ἀναιρῶν, τὰς δὲ συμβιβάζων παρουσιάζει ἴδιον θεοσοφικὸν σύστημα (3)· οὕτως οἱ Βραχμάνες λαβόντες

(1) Οὗτος ἀναφέρει περὶ τῆς χρονολογίας τοῦ Σάκα, ἥτις συμπίπτει περὶ τὸ 78 ἔτος μετὰ Χριστόν.

(2) Ὁ Βατριχαρῆς Πρόδρ. Ἰνδ. μετάφρ. Κεφ. Α. σελ. 2, σχ.

(3) Ὁ μὲν Βατριχαρῆς (Προδρ. Βατριχ. σελ. 54. δίστ. 66-83.) Παρ. Χαρ. λέγει· ὅτι τὰ ἔργα εἴτε καλά, εἴτε κακά, εἰσὶ δεσμός, συνδέων τὴν ψυχὴν μετὰ τοῦ σώματος· ὥστε ὁ ἐπιθυμῶν τὸ ἄκρον ἐφετόν, ἤγουν τὴν πρὸς Θεὸν ἕνωσιν, ἀνάγκη ἵνα φθάσῃ εἰς τελείαν ἀπραξίαν, ἀπάθειαν, καὶ ἀπραγμοσύνην· ὅ ἐστιν εἰς τὸν ἐντελέστερον χωρισμὸν τῆς ψυχῆς ἀπὸ τοῦ σώματος, καὶ εἰς τὴν θεοῦ ἕνω-

σύμμαχον τὴν πρόοδον τοῦ φιλοσοφοῦντος λόγου προεβαλον ἐπιτηδείως τὰς ἑτεροδοξίας τῶν Βουδδιστῶν, καὶ ἴσχυσαν, μικρὸν κατὰ μικρὸν, ἵνα ἐπαναγάγωσι τὴν ἀρχαίαν λατρείαν, καὶ σὺν αὐτῇ, τὴν Βραχμανοκρατείαν εἰς ἅπασαν σχεδὸν τὴν Ἰνδικήν.

Εἰς τὴν Ἀσίαν δὲν ὑπῆρξαν, ὡς ἐν τῇ Ἑλλάδι, καθαραὶ φιλοσοφικαὶ Σχολαί, ἀλλὰ θεοσοφικαί· ὅθεν καὶ ἡ φιλοσοφία ὑπέστη τὰς αὐτὰς τῆς θρησκείας ἀλλοιώσεις. Εἰς τὴν πρώτην περίοδον ἐδέσποζεν ὁ καθαρὸς Πανθεϊσμός· εἰς δὲ τὴν δευτέραν, ἐκτὸς αὐτοῦ, καὶ ὡς ἀναγκαία τούτου συνέπεια, ἐπροσκυνοῦντο ὡς θεοί, οἱ ἥρωες, οἱ ὅσιοι, καὶ θεσσόφοι Βραχμᾶνες (1), ὡς Ἰνδρας, Ῥάμας, Κρισνᾶς

στη τελείαν νέκρωσιν τοῦ σωματοειδοῦς, οὐδὲν πράττων, εἴτε καλὸν, εἴτε κακόν· ἀλλ' ἐν ἀπολύτῳ θεωρίᾳ τοῦ Ὑψίστου διάγων, τὸν οὐρανὸν ἔχων στέγην, τὴν παλάμην ποτήριον, τὴν γῆν στρωμνὴν, καὶ τὰ αὐτοφυῆ χόρτα ἢ ῥίζας τροφήν. Οὕτω ζῶν ἐν τελείᾳ ἀπαθείᾳ, οὐδὲν ὀρεγόμενος, καὶ οὐδὲν πράττων ζῇ ἐν τῷ Θεῷ καὶ ἐν αὐτῷ κορεννύμενος καὶ ἀγαλλόμενος ἠρεμεῖ. Ὁ δὲ Βεάσας ἢ ὁ συγγραφεὺς τῆς Γιτᾶς δεχόμενος τὴν διὰ θεωρίας ἕνωσιν μετὰ τοῦ Ὑψίστου, ὡς τὸ ἄκρον ἀγαθὸν, παραδέχεται καὶ τὴν πρᾶξιν τῶν ἀρετῶν. « Ὅστις γὰρ οὔτε μισεῖ τι, οὔτε ἐφίεται, οὗτος, εἰ καὶ πράττων, δῆλος ἐστὶν ὡς ἀπράγμων ἐστὶν . . . καὶ τοῦ δεσμοῦ ἀπολύεται. Οἱ ἄφρονες, ἐξακολουθεῖ, χωρίζουσι τὴν θεωρίαν καὶ τὴν πρᾶξιν· οὐχὶ δ' οἱ σοφοί· κἂν γὰρ μίαν (πρᾶξιν) γέ τις ποιήσῃ πρεπόντως, ἀμφοτέρων ἕξει τὸν καρπὸν, οὕτως. εἰαν γάρ τοι στάσιν ἀπολαμβάνουσιν οἱ θεωρητικοί, ἣν αὐτὴν δήπου γε καὶ οἱ πρακτικοί. Ὅστις δὲ φρονεῖ ὡς ἕν τι ἐστὶν ἥ τε θεωρία καὶ ἡ (διὰ τὴν θεωρίαν) πρᾶξις, οὗτος ὀρθῶς φρονεῖ. Ἡ μέντοι θεωρία ἄνευ τῆς πράξεως δυσκίνητος ἐστίν· ὁ δὲ πρακτικὸς, γινόμενος θεωρητικὸς, τυγχάνει ἀμέσως τοῦ Θείου. » Γιτά. Κεφ. ς΄. Δίστ. 2—3—4—5—6· καὶ ἐφεξῆς· οὕτως εἰς πᾶσαν περίστασιν ἡ Γιτὰ καταπολεμεῖ τὰς πρὸ αὐτῆς θεοσοφικὰς δεξασίας.

(1) Ὁ Ἄγγλος Ἐδουάρδος Βισσαῖος (Edouardus Bissæus) ἐδημοσίευσε, τὸ ἔτος 1665, ἐν Λονδίνῳ τὸ τοῦ Παλλαδίου πόνημα: περὶ τῶν τῆς Ἰνδίας ἐθνῶν καὶ τῶν Βραχμάνων. Εἰς αὐτὸ οὐ μόνον ἐπρόσθεσεν, ὡς ἀνωτέρω ἐρρέθη, τὴν περὶ Βραχμάνων διατριβὴν τοῦ Ἱεροῦ Ἀμβροσίου, καὶ ἑτέραν, περὶ Βραχμάνων ἀνωνύμου τινὸς, ἀλλὰ καὶ ὅσα περὶ τοῦ αὐτοῦ ἀντικειμένου

Αδαμαϊάνας, κ.τ.λ. οὕτως ἤρξατο ἡ ἀνθρωπολατρεία. Ἕκαστος δὲ λαὸς ἔχων ἰδίας παραδόσεις, καὶ ἥρωας, ἔσχε καὶ ἴδιον Θεόν· ἐκ τούτου προῆλθεν ἀκολούθως ἡ περὶ τῶν θεῶν τούτων λογικὴ ἔρευνα, καὶ ὁ διαμαρτυ-

---

τον ἐκφέρων οἱ πρὸ τῆς ἀναγεννήσεως τῆς φιλολογικῆς Ἰνδίας ἀρχαιότεροι συγγραφεῖς· ὡς Στράβων (Γεωγρ. Βιβλ. ΙΕ. §. 60—70), Κικέρων (Tusc. Quæst. Lib. V. §. XXVII), Πλίνιος (Histor. Natur. Lib. VII. Cap. II), Πλούταρχος (ἐν Βίῳ Ἀλεξάνδρου §. 59—64—65), Ἀῤῥιανὸς (Αναβ. Ἀλεξάνδρου Βιβλ. Γ'. Καὶ Συγγραφ. Ἰνδικὴ), Ἀπουλέϊος (Florida § V—VII—XIII), Κλήμης ὁ Ἀλεξανδ. (Στρώμ. Λογ. Γ'. Κεφ. Ζ'.) Baronius (Annal Eccles. Anno 388), Πορφύριος (περὶ Ἀποχῆς Βιβλ. Δ'. §. 17—18), Φιλόστρατος (ἐν Βίῳ Ἀπολλων. Βιβλ. Γ'. Κεφ. 4—5, κ. ἑ.), Postellus (in Commentario ad Fezirah), Vossius (de Historicis Graecis), Labbæus (de Scriptoribus Ecclesiasticis).

Ὁ Bayle, ἐξηγῶν τὰς λέξεις Βραχμᾶνες καὶ Γυμνοσοφισταὶ, εἶχεν ὑπ' ὄψιν ἄλλην ἔκδοσιν τὴν τῶν 1668. Αὐτὴν ἔχει καὶ ἡ ἡμετέρα Βιβλιοθήκη, ἣν χρεωστοῦμεν εἰς τὴν ἀγαθότητα τοῦ κατὰ πάντα λόγον ἀξιοτίμου Κ. Ἰακώβου Ῥίζου τοῦ Νερουλοῦ. Φέρει δ' αὕτη τὴν ἑξῆς χειρόγραφον ἐπιγραφήν: Ἐκ τῶν τοῦ Κωνσταντίνου Μαυροκορδάτου, υἱοῦ Ν. Β. (Νικολάου Βοεβόδα)· ὥστε τὸ ἡμέτερον ἀντίτυπον ἐστὶ λίαν πολύτιμον οὐ μόνον διὰ τὴν σπανιότητα, ἀλλὰ καὶ διὰ τὴν πρωτότυπον ἐπιγραφὴν τοῦ ἀειμνήστου Κωνστ. Μαυροκορδάτου.

Πρὸς συμπλήρωσιν δὲ τοῦ καταλόγου τοῦ Ἄγγλου ἐκδότου, δύναται ὁ φιλομαθὴς ἀναγνώστης ἵνα προσθέσῃ ὅσα περὶ Βραχμάνων ἀναφέρει Διόδωρος ὁ Σικελιώτης (Βιβλιοθ. Ἱστορ. Βιβλ. 2. § 40—41), Quint. Cur. Ruf. (de Rebus Gestis Alexantri Magni Lib. VIII. Cap. IX), Διογένης Λαέρτ. (Βιβλ. Α. Προοίμ. 1—6—9), Στέφανος Βυζ. (περὶ Πόλ. λέξ. Βραχμᾶνες), Σουΐδας (λέξ. Βραχμὰν καὶ Βραχμᾶνες), Πτολεμαῖος (Γεωγρ. Βιβλ. 7. Κεφ. 1), Εὐσέβιος (Εὐαγγ. Προπαρ. Βιβλ. Ϛ'. ἑ), Tertullianus (apolog. 24), Ἱερὸς Αὐγουστῖνος (περὶ Πόλ. Θεοῦ Βιβλ. XV, 20 XVI, 17) κ.τ.λ.

Πάντες δ' οὗτοι ἔγραψαν περὶ Βραχμάνων καὶ Γυμνοσοφιστῶν ἐν συντόμῳ, καὶ ὁπωσοῦν συγκεχυμένως· ὁ σοφὸς Ἰνδολόγος Wilson (Asiat. Research. XVII. 278—9) ἀποδίδει τὴν σύγχυσιν ταύτην τῶν ἀρχαίων εἰς τὴν ἔλλειψιν ἀκριβοῦς διακρίσεως τῶν διαφόρων τάξεων, ἅσπερ εἰς τέσσαρας διαιρεῖ. Εἰς τέσσαρας ἐπίσης τάξεις διαιρεῖ τοὺς Βραχμᾶνας καὶ ὁ Γαλανὸς (Πρόδρ. Ἰνδ. μεταφρ. Βατριχαρῆ περὶ Ματαιότητος σελ. 41. Σημ. 2.) λέγων «Τέσσαρες εἶσὶν αἱ τάξεις ἢ διαγωγαί· 1. Οἱ ἄγαμοι καὶ παρθένοι, οἱ τὰ Θεῖα μελετῶντες (Βραχμαχαρεῖς). 2. Οἱ ἔγγαμοι (Γρίχοι), οὗτοι ζῶσιν ἐν τῷ κόσμῳ μετὰ

ρούμενος Βουδδισμός, ὅστις συμφωνῶν ὡς πρὸς τὴν ἀρχὴν τοῦ ἀοράτου Βράχμα (1), καὶ τοῦ Πανθεϊσμοῦ, ἠρνεῖτο τὸν ὁρατὸν Θεόν· ἔκτοτε ἤρξαντο αἱ αἱρέσεις, καὶ αἱ τῶν Βραχμάνων καὶ Βουδδιστῶν ἔριδες. Ὅθεν ὁ Βραχμάν, συγγραφεὺς τῆς Γιτᾶς, συγκεφαλαιῶν τὰς διαφόρους δοξασίας, ποτὲ μὲν τὸ γράμμα, ἄλλοτε δὲ τὸ πνεῦμα τῶν Βεδῶν ἐξηγῶν, καὶ νῦν μὲν ἀναιρῶν, ἄλλοτε δὲ συμβιβάζων ὁμολογεῖ τὸν Ὕψιστον Βράχμαν, ἀποχωρίζει δ᾽ ἀπὸ τὴν θείαν αὐτοῦ οὐσίαν τὴν συνάναρχον ὕλην, καὶ τὴν κοσμικὴν μονάδα, καὶ δι᾽ αὐτῶν σχηματίζει τὴν γενικὴν ψυχὴν τοῦ παντὸς, τὴν μερικὴν τοῦ ἀνθρώπου, πάντα τὰ ὄντα καὶ τὰ φαινόμενα, τοὺς θεοὺς καὶ τοὺς δαίμονας. Καθότι ὁ αὐτὸς Θεος ἐστὶ καὶ ὁ ἀόρατος Βράχμας, καὶ ὁ ὁρατὸς Βραχμᾶς, Βισνοῦς, Σίβας καὶ τὸ Ὄμ. Ὁ αὐτὸς ἐστὶ καὶ Κρισνᾶς, καὶ Ῥάμας, φῶς καὶ πῦρ, ὕδωρ καὶ γῆ, θυσία καὶ θῦμα, αἰτία καὶ ἀποτέλεσμα. Οὕτως ἀναιρῶν τὴν ἀλείαν (τὴν τὸ πᾶν αὐτόματον δοξάζουσαν), καὶ

γυναικὸς καὶ τέκνων. 3. Οἱ ὑλόβιοι ἢ ἐρημῖται (Βαναπρασται)· οὗτοι ἀρνησάμενοι τὰ του κόσμου ἐν ἀσκητηρίοις διάγουσι. 4. Οἱ περιπλανώμενοι (Βικσχοὶ) ἢ ἐπαῖται· οὗτοι μηδενὸς τῶν πρὸς τὸ ζῆν φροντίζοντες, μηδ᾽ ὀψοποιοῦντες ἐσθίουσιν ὅ,τι ἂν βρῶμα εὕρωσιν ἐξ αἰτήσεως.» Ὥστε οἱ πρῶτοι καὶ οἱ δεύτεροι οἰκοῦσι τὰς πόλεις, οἱ μὲν παρθενικὸν βίον ἄγοντες οἱ δὲ μετὰ γυναικὸς καὶ τέκνων συμβιοῦντες· οἱ τρίτοι καὶ τέταρτοι εἰσὶν ἀναχωρηταί· οἱ μὲν ζῶσιν ἐν Μονῇ ἢ ἐν Καλύβῃ, τρεφόμενοι ἐκ βρωσίμων αὐτοφυῶν ῥιζῶν καὶ ὀσπρίων, περιζώματα ἐκ φλοιῶν δένδρων ἔχοντες, καὶ τον Θεον διηνεκῶς ὑμνοῦντες· οἱ δὲ τελευταῖοι ζῶσι κυνικον, τρόπον τινὰ, βιον (οἱ κυρίως Γυμνοσοφισται)· οὗτοι περιφερόμενοι ἀπὸ θύρας εις θύραν συλλέγουσι τὸ ἀρκοῦν βρῶμα, ἐσθίουσι καὶ κοιμῶνται ὅπου ἂν τύχῃ εὐνὴν την γῆν, καὶ ἐνδυμασίαν ἐκ φλοιῶν καὶ φύλλων ἔχοντες.

(1) Ὁ ἀναγνώστης ἐνθυμεῖται τὴν περὶ Βράχμα καὶ Βραχμᾶ διαφοράν. Τὸ πρῶτον φανερόνει τὸ Ὕψιστον καὶ ἀόρατον Θεῖον· καὶ διὰ τοῦτο οὐδετέρως προφέρεται παρ᾽ Ἰνδοῖς: ἤγουν τὸ Βράχμα (τὸ Θεῖον)· τὸ δὲ δεύτερον ἐστὶν ὁ τῆς κοσμογονίας ποιητὴς Βραχμᾶς· διὸ καὶ ἀρσενικῶς προφέρεται.

τὴν ἑτερολατρείαν (1), καὶ μὴ δεχόμενος τὴν πρᾶξιν τῆς ἀρετῆς ἄνευ θεοσεβείας, οὐδὲ τὴν θεοσέβειαν, ἄνευ τῆς πρακτικῆς ἀρετῆς, προτιμᾷ τὴν ἐκπλήρωσιν τοῦ καθήκοντος κατὰ τὴν ἐντολήν, ἕνεκα μόνου τοῦ Θεοῦ, ἄνευ δηλονότι ἐλπίδος ἀμοιβῆς, καὶ ἀναβιβάζει τὸν ἄνθρωπον διὰ τῆς ἀπαθείας εἰς τὴν θεωρίαν τοῦ Ὑψίςου, δι' ἧς τελεῖται ἡ μετὰ τοῦ Θεοῦ ἕνωσις καὶ ἡ ἀποθέωσις· τελευταῖον δόγμα ὅπερ καὶ τὴν σήμερον ἐπικρατεῖ ἐν τῇ Ἰνδίᾳ (2). Θέλων δὲ ἵνα δώσῃ κῦρος καὶ ἁγιότητα εἰς τὸ θεοσοφικὸν τοῦτο σύστημα ἐνανθρωπεῖ τὸν πολλάκις καὶ ἐν ἁπάσαις ταῖς περιστάσεσιν ἐνσαρκωθέντα Βισνοῦν, ὅςις διδάσκει διὰ τοῦ στόματος τοῦ πολυμμόρφου Βεάσα τὴν Γιτάν. Τὴν αὐτὴν συμβιβαστικὴν πορείαν ὥδευσαν, φαίνεται, ὁ Κουμαρίλας, ὁ Βάττας, ὁ Σαγκάρας, ὁ Βεπαδέβας. Πάντες δὲ οὗτοι ἤκμασαν μετὰ Χριστὸν (3)· ὥστε δυοῖν θάτερον, ἢ ἕτερος καὶ οὐχὶ ὁ Βεάσας ἐστὶν ὁ συγγραφεὺς τῆς Γιτᾶς· ἢ δύο εἰσὶν οἱ Βεάσαι· εἷς μὲν ἀρχαῖος, ὃς καὶ τὴν Βέδαν ἐν τάξει ἔθετο, καὶ τὴν θαυμαστὴν Μαχαβαράταν συνεγράψατο (4), ὁ δὲ ἕτερος λίαν τοῦ πρώτου μεταγενέστερος, ὅςτις πρὸς σύστασιν ἑαυτοῦ τε καὶ τῆς Γιτᾶς Βεάσαν ἑαυτὸν ὠνόμασε (5), καὶ τὴν Γιτὰν Ἐπεισόδιον τῆς Μαχαβαράτας ἐκάλεσεν. Ἀλλ' ἡ Γιτὰ εἰς πολλὰ μέρη, ἢ ἀναι-

(1) Γιτὰ Κεφ. ΙΗ, Δίστ. 8—22.

(2) Πρόδρ. Ἰνδικῶν μετάφρ. περὶ ματαιότητος σελ. 59: σχ. 2—3. Καὶ Βατριχαρῆ ἠθολογ. δίστ. 97.

(3) Transact. of the Royal. As. soc. I. p. 441. Καὶ αὐτ. VII. p. 214—280. Ritter αὐτ. σελ. 94—96.

(4) Ἰτιχασασαμυτσαΐα δίστ. 7. Καὶ Πρόδρ. Κατάλ. χειρογ. σελ. μά.

(5) Ὁ Βραχμὰν Κρισνᾶς Δβαπαϊάνας συναθροίσας τὰς ἱερὰς τῶν Ἰνδῶν Βίβλους ἢ Βέδας εἰς βιβλία καὶ κεφάλαια διήρεσεν. Ἐκ τούτου ὠνομάσθη Βεάς

ρεῖ ἢ διορθώνει τὰς Βέδας· ὥστε ἄλλος ἐστὶν ὁ συλλογεὺς τούτων, καὶ ἄλλος ὁ συγγραφεὺς τῆς Γιτᾶς, ἢ αὐτὸς εἰς ἑαυτὸν ἀντιφάσκει.

Ἀλλ' εἴτε εἷς ἢ δύο ὑποτεθῶσι Βεάσαι, ἡ Γιτὰ δὲν ἀνήκει βεβαίως εἰς τὴν δευτέραν περίοδον τὴν ἀρχαίαν καὶ νηπιώδη· ἀλλ' ἔστι σύγγραμμα λίαν μεταγενέστερον τοῦ Ἐπικοῦ ποιήματος. Εἰς πολλὰ δ' αὐτοῦ μέρη φέρει ἀναμφισβήτητα σημεῖα ἄλλων νεωτέρων χρόνων, καὶ αὐτοῦ τοῦ Σωτηρίου ἔτους πολλὰ μεταγενεστέρων. Ὁ δὲ συγγραφεὺς αὐτῆς, ὠφεληθεὶς ἀπὸ τὸ κήρυγμα τοῦ θείου Εὐαγγελίου, ὅπερ ὡς βολὴ φωτὸς διεχύθη ἐν ἀκαρεῖ εἰς ἅπαντα τῆς Οἰκουμένης τὰ μέρη (1), μάλιστα δὲ παρὰ τῶν Ἱερῶν Ἀποστόλων Μάρκου καὶ Παύλου, τῶν κηρυξάντων αὐτὸ εἰς τὴν Ἀραβίαν καὶ Περσίαν, καὶ τοῦ Θωμᾶ, τοῦ κηρύξαντος τὸ Εὐαγγέλιον εἰς τὴν Ἰνδίαν, ἐῤῥύθμισε τὰς ἐννοίας τοῦ συστήματος αὐτοῦ, προσαρμόσας ἐπιτηδείως τὴν ὑψηλὴν ἠθικὴν τοῦ θείου Εὐαγγελίου, εἰς τὴν θεοσοφικὴν τῆς Γιτᾶς διδασκαλίαν· ὥστε καὶ ἐν αὐτῇ τῇ πλάνῃ τοῦ Πανθεϊσμοῦ καταυγάζει ἡ ἀκτὶς τῆς οὐρανίου ἀληθείας. Δικαίως ἄρα εἶπον ἐξ Ἀνατολῶν τὸ Φῶς· διότι ἐξ Ἀνατολῶν ἔλαμψεν ὁ Ἥλιος τῆς Δικαιο-

---

ἢ Βεάσας. Ἐκ τῆς προσθέσεως Βι, καὶ τοῦ ῥήματος Ασς (συλλέγω). Διὸ καὶ Βεδαβεάσαν ἐκάλεσαν: ἤτοι Βεδοσυλλογέα. Ἐπειδὴ δὲ οὗτος καὶ τὰς Βέδας ἐτακτοποίησε, καὶ τὴν Μαχαβαράταν συνέγραψε, καὶ πάντα τὰ τῆς Βέδας ἐν τῇ Μαχαβαράτᾳ ἑρμήνευσε, λέγων «φευγέτω πᾶς τις τὰ κακὰ, καὶ ζητείτω τὰ ἀγαθὰ κ.τ.λ.» Ὡς Θεὸς ἐνσαρκωθεὶς προσκυνεῖται (Ἰτιχασασαμουτσαῖα δίστ. 4). Διὰ τοῦτο φαίνεται καὶ ὁ συγγραφεὺς τῆς Γιτᾶς τὸ ὄνομα τοῦ ἀρχαίου Βεάσα ἔλαβε, καὶ τὴν Γιτὰν ἐπεισόδιον τῆς Μαχαβαράτας ἐκάλεσε.

(1) Οὕτω δῆτα οὐρανίῳ δυνάμει ἀθρόως, οἷά τις ἡλίου βολὴ τὴν σύμπασαν Οἰκουμένην ὁ σωτήριος κατηύγαζε λόγος. Εὐσ, Ἐκκλ. Ἱστ. Κεφ. Γ'.

σύνης, καὶ ἡ Ἀλήθεια. Ἔκτοτε, λέγουσι, πάντες οἱ ἐν τῇ Ἀσίᾳ θεοσόφοι θεωρητικοί τε καὶ πρακτικοὶ Ἐχριστιάνιζον· καὶ πάντες οὗτοι ἀκούσαντες τῆς Θείας διδασκαλίας ἄχρις ὀνόματος τὸν Χριστὸν ὡμολόγησαν (1). Οἱ δὲ Βραχμάνες τὴν Θείαν ταύτην διδασκαλίαν λαβόντες πρὸς στερέωσιν τοῦ Πανθεϊσμοῦ καὶ τῶν θεοσοφικῶν αὐτῶν δογμάτων ἐπιτηδείως ἀνέμιξαν. Ὅθεν αἱ πολλαὶ καὶ τερατώδεις ἐνσαρκώσεις τοῦ Βισνοῦ, καὶ ἡ τελευταία ἡ τῆς συμβιβαστικῆς Γιτᾶς, εἰσὶ τῆς Θείας οἰκονομίας μεταγενέστερον καὶ ὠχρὸν ἀπομίμημα, καὶ τῆς Βραχμανικῆς γοητείας μυθόπλασμα.

Ἐν Ἀθήναις, τὴν 10 Μαΐου 1848.

Γεώργιος Κ. Τυπάλδος.

---

(1) Παῦλος πρὸς Γαλάτας Λ. 17. — Εὐσέβ. Ἐκκλ. Ἱστορ. Βιβλ. Β'. Κεφ. ΙΖ'. — Φίλων ἐν τῷ περὶ τοῦ πάντα σπουδαῖον εἶναι ἐλεύθερον. — Ἰώσηπ. περὶ Ἁλώσ. Βιβλ. Β'. Κεφ. Ζ'. — Εὐγ. Βουλ. Πρώτη Ἑκατοντ. ἔτος ΛΖ'. §. 178.

ΓΙΤΑ.

ΚΕΦΑΛΑΙΟΝ Α΄.

ΔΡΥΤΑΡΑΣΤΡΑΣ.

1. Τί ἐποίησαν, ὦ Σανζαΐα, οἱ πολεμησείοντες υἱοί μου καὶ οἱ τοῦ Πανδοῦ, συνελθόντες εἰς τὴν Κουρουξέτραν, τὴν γῆν τῆς ἀρετῆς;

ΣΑΝΖΑΪΑΣ [1].

2. Ὁ Βασιλεὺς Δουριοδάνας, ἰδὼν παρατεταγμένον τὸν στρατὸν τῶν Πανδοΐδων, προσελθὼν τῷ διδασκάλῳ Δρόνᾳ [2] ἔλεξε τάδε·

ΔΟΥΡΙΟΔΑΝΑΣ.

3. « Σκόπει, διδάσκαλε, τὸν μέγαν τοῦτον στρατὸν τῶν υἱῶν
» τοῦ Πανδοῦ, τὸν παρατεταγμένον ὑπὸ τοῦ εἰδήμονος
» μαθητοῦ σου Δρυσταδεούμνα, υἱοῦ τοῦ Δρουπάδα.

---

1. Ὁ Σανζαΐας οὗτος σύμβουλος καὶ ἡνίοχος ἦν τοῦ βασιλέως Δρυταράστρα· τοιαύτην δὲ χάριν ἔλαβε παρὰ τοῦ Βεάσα, ὥστε βλέπειν καὶ ἀκούειν τὰ μακρὰν ὄντα καὶ ἀπόντα, ὡς ἐγγὺς ὄντα καὶ παρόντα· διὸ καὶ ὁ Δρυταράστρας ἐρωτᾷ αὐτὸν ἵνα μάθῃ.

2. Οὗτος ὁ Δρόνας Βραχμὰν ἦν, ἀνὴρ σοφὸς, εἰδήμων τε τῶν πολεμικῶν, καὶ διδάσκαλος τοῦ Δουριοδάνα καὶ τῶν λοιπῶν Κασυραβῶν καὶ Πανδοΐδων, καὶ εἷς τῶν ἡγεμόνων καὶ ἡρώων.

4. «Ἐν ταύτῃ τῇ στρατιᾷ ἥρωές εἰσι μεγαλότοξοι, ὅ-
» μοιοι τῷ Βήμᾳ καὶ τῷ Ἀρζούνᾳ ἐν μάχῃ, δηλονότι
» ὁ Σατεκὴς, ὁ Βιράτας, ὁ μαχαράτας[1] Δρουπάδας,

5. «Ὁ Δρυστακετοῦς, ὁ Σεκιτάνας, ὁ γενναῖος Βασιλεὺς τῆς
» Κασσῆς, ὁ Πουρουζίτας, ὁ Κουντιβόζας, ὁ ἄριστος ἐν
» ἀνδράσι Σαϊβέας,

6. «Ὁ ἀνδρεῖος Ἰουδαμανιοῦς, ὁ ῥωμαλαῖος Οὐτταμαουζᾶς, ὁ
» υἱὸς τῆς Σουββαδρᾶς Ἀββιμανιοῦς, οἱ πέντε υἱοὶ τῶν
» πέντε Πανδοϊδῶν[2], καὶ οἱ υἱοὶ τῆς Δραουπαδῆς, ἅπαν-
» τες μαχαράται[3].

7. «Ὅσοι δὲ ἡμέτεροι ἄριςοι, καὶ τούτους σκόπει, ὦ ὑπέρ-
» τατε Βραχμάν· ἐγὼ γὰρ κατονομάζω εἰς εἴδησίν σου καὶ
» ὅσοι εἰσὶν ἡγεμόνες τοῦ ἡμετέρου στρατοῦ·

8. «Σὺ αὐτὸς, ὁ Βήσμας, ὁ Καρνᾶς, ὁ νικητὴς ἐν πολέμῳ
» Κριπᾶς, ὁ Ἀσβαττάμας, ὁ Βικαρνᾶς, καὶ ὁ Βουρισραβᾶς,
» ὁ τοῦ Σομαδάτα,

9. «Καὶ ἄλλοι δὲ πολλοὶ ἥρωες[4], ῥιψοκίνδυνοι ὄντες ὑπὲρ
» ἐμοῦ, διαφόροις ἀμυντηρίοις ὅπλοις καθωπλισμένοι, ἅ-
» παντες ἐξ ἴσου εἰδήμονες καὶ ἔμπειροι τοῦ πολέμου.

10. «Καὶ τουτὶ μὲν τὸ ἡμέτερον στράτευμα, τὸ ὂν ὑπὸ τὴν
» προςασίαν τοῦ Βήσμα[5] ἀναρίθμητόν ἐςιν· εὐάριθμον δὲ
» ἐκεῖνο τὸ τῶν ἐναντίων, οὗ προστάτης ἐςὶν ὁ Βήμας[6].

---

1. Μεγαλόδιφρος, κατ' ἐτυμολογίαν· ἔστι δ' ἐπίθετον ἥρωος, ὅστις πολεμεῖ δεκακισχιλίοις. Ἔστι δὲ καὶ ἕτερον τοιοῦτον ἐπίθετον Ἀτιράτας, ὅπερ ἐστὶ, κατ' ἐτυμολογίαν, ὑπέρδιφρος· ἀναφέρεται δὲ εἰς τὸν πολεμοῦντα ἀναριθμήτοις. Αὕτη ἡ ὑπερβολὴ οὐδέν τοι διαφέρει τῆς ἐν τῇ Παλαιᾷ Γραφῇ· «ὁ Σαοὺλ ἐν χιλιάσι, καὶ ὁ Δαβὶδ ἐν μυριάσι.» Φαίνεται οὖν, ὅτι καὶ οἱ Ἑβραῖοι τοιαῦτα ὑπερβολικὰ ἐπίθετα εἴθιζον ἀποδιδόναι τοῖς ἑαυτῶν ἥρωσι.

2. Ἐν τῷ περιθωρίῳ: οἱ πέντε υἱοὶ τῶν πέντε Πανδοϊδῶν.

3. Ἴδε ἀνωτέρω (διστίχῳ 4) τὴν ἔννοιαν τῆς λέξεως.

4. Ἐν τῷ περιθωρίῳ: οἷος ὁ Βαγαδάτας, ὁ Σαλέας, κτλ.

5. Οὗτος ἦν στρατηγὸς τοῦ περὶ τοὺς υἱοὺς τοῦ Δρυταράστρα στρατοῦ.

6. Στρατηγὸς τοῦ στρατοῦ τῶν υἱῶν τοῦ Πανδοῦ.

11. «Μένετε μέντοι γ' ὑμεῖς ἕκαστοι ἐν ἑκάστῃ χώρᾳ, ἣ κατὰ » μέρος ἐτάχθητε, καὶ περιέπετε τὸν στρατηγὸν ἑαυτῶν » Βήσμαν».

ΣΑΝΖΑΪΑΣ.

12. Ὁ δὲ θερμουργὸς Βήσμας, ὁ πρεσβύτερος τῶν ἐν τῇ γενεᾷ Κουροῦ[1], θέλων τέρψαι αὐτὸν τὸν Δουριοδάναν, ἀναῤῥήξας φωνὴν λεόντειον, ἐσάλπισε[2].

13. Καὶ ἐν τῷ ἅμα κόγχοι καὶ σύριγγες καὶ τύμπανα πολυειδῆ, τὰ μὲν ἐκρούσθησαν, τὰ δὲ ἐνεπνεύσθησαν, ἐξ ὧν βοὴ σύμμικτος καὶ θροῦς ἤρθη μέγας.

14. Οὐ μὴν ἀλλὰ καὶ ὁ Κρισνᾶς, καὶ ὁ Πανδοΐδης Ἀρζούνας[3] ὀχουμένω ἐφ' ἅρματος λευκοῖς ἵπποις ἐζευγμένου, ἐσαλπισάτην θείῳ κόγχῳ.

15. Ὁ μὲν Κρισνᾶς τὴν Πανσαζανέαν (Παγχεγενέαν), ὁ δ' Ἀρζούνας τὴν Δεβαδάτταν· ὁ δὲ φοβερὸς τοῖς ἔργοις Βήμας ἐσάλπισε τὴν μεγάλην κόγχον τὴν Πάουνδραν.

16. Ὁ δὲ Βασιλεὺς Ἰουδιστίρας, ὁ υἱὸς τῆς Κουντῆς, τὴν Ἀνανταβιζάγην, ὁ δὲ Νακούλας τὴν Σουγγόσσαν (εὔφωνον), ὁ δὲ Σαχαδέβας τὴν Μανιπουσπάκαν.

17. Ὡσαύτως δὲ καὶ ὁ καλλίτοξος Βασιλεὺς τῆς Κασσῆς, καὶ ὁ μεγαλόδιφρος Σικανδῆς, καὶ ὁ Δρυσταδεούμνας, καὶ ὁ Βιράτας, καὶ ὁ ἀήττητος Σατεκῆς,

18. Ὅ,τε Δρουπάδας καὶ οἱ τῆς Δραουπαδῆς υἱοί, καὶ ὁ

---

1. Ὄνομα γενεᾶς, ἐξ ἧς ὁ Βήσμας κατήγετο· ἦν δ' ἡμίθεος, πατέρα μὲν ἔχων τὸν Σαντανοῦν, μητέρα δὲ τὴν θεὰν Γαγγάν.

2. Ἐφύσησε τὴν κόγχον. Ἡ ἔμπνευσις τῆς κόγχου σημεῖον ἦν ἐξορμητικὸν εἰς τὸν πόλεμον.

3. Ἄκραν φιλίαν εἶχον πρὸς ἀλλήλους καὶ σύμπνοιαν ὅ,τε Κρισνᾶς καὶ ὁ Ἀρζούνας· ὅθεν καὶ ἐφ' ἅρματος τεθρίππου ἐπεξῆλθον εἰς πόλεμον, τοῦ Κρισνᾶ ἡνιοχοῦντος. Σημείωσαι ἐνταῦθα, ὡς οἱ παλαιοὶ τῶν Ἰνδῶν ἥρωες ἐφ' ἁρμάτων ἐπολέμουν, ὡς καὶ οἱ τῶν Ἑλλήνων.

τῆς Σουβδαδρᾶς Ἀβδημανιοῦς, ὁ μεγαλοβραχίων, ἅπαντες ἀπανταχόθεν, ὦ Βασιλεῦ τῆς γῆς, ἀνὰ μέρος κόγχους ἐσάλπισαν.

19. Ἐκεῖνος δ' ὁ ἦχος τῶν κόγχων, ἀντηχεῖν ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν, διέτεμε τὰς καρδίας τῶν υἱῶν σου [1].

20. Ἐνταῦθα, τῶν ὅπλων ὄντων προχείρων εἰς σύγκρουσιν, ὁ Πανδοΐδης Ἀρζούνας, ὁ ἔχων ἐν τῇ σημαίᾳ τὸν πίθηκα, θεασάμενος τοὺς υἱούς σου παρατεταγμένους ἐπὶ μάχῃ, ἀναλαβὼν τὸ τόξον,

21. Τάδε πρὸς τὸν Κρισνᾶν ἐξηρεύξατο·

ΑΡΖΟΥΝΑΣ.

«Ὦ Βασιλεῦ τῆς γῆς, στῆσον τὸ ἅρμα μου μέσον ἀμ-
» φοῖν τοῖν στρατοῖν,

22. «Ἵν' ἀκριβῶς ἔγωγε σκέψωμαι τούτους τοὺς ἱσταμέ-
» νους καὶ πολεμεῖν ἐφιεμένους, καὶ τίσι δεῖ μοι συμ-
» πλακῆναι ἐν τούτῳ τῷ πολεμικῷ ἀγῶνι·

23. «Ἵν' ἀκριβῶς ἔγωγε σκέψωμαι [2] τοὺς μέλλοντας τού-
» τους πολεμήσειν, οἳ ἐνθάδε συμπαρεγένοντο, ἀρέσαι
» ἐφιέμενοι τῷ κακόφρονι υἱῷ τοῦ Δρυταράστρα.»

ΣΑΝΖΑΪΑΣ.

24. Οὕτως εἰπόντος, ὦ Βαράτα [3], τοῦ Ἀρζούνα, στήσας ὁ Κρισνᾶς ἐν μεταιχμίῳ ἀμφοῖν τοῖν στρατοῖν τὸ περικαλλὲς ἅρμα,

---

1. Ἀντὶ τῶν υἱῶν σου, τὸ Ἰνδ. πρωτότυπον φέρει τῶν υἱῶν τοῦ Δρυταράστρα· ὅθεν ὁ μεταφραστὴς ἔχει τὴν ἑξῆς σημείωσιν ἐν τῷ περιθωρίῳ· «ἰδιωτισμὸς τὸ τιθέναι τρίτον πρόσωπον· οὐ γὰρ ἦν ἄλλος ὁ Δρυταράστρας, ἀλλ' ἢ οὗτος αὐτὸς, πρὸς ὃν ὁ Σανζαΐας διαλέγεται.» (Σημ. τ. ἐκδ.).

2. Διπλασιασμὸς λόγου, ἵν' ἴδω (Δ. Γρ.).

3. Ὄνομα βασιλέως μεγάλου, ἐξ οὗ καὶ λαμβάνει τὸ ὄνομα, ὡς οἱ Πτολεμαῖοι, ὁ Δρυταράστρας οὗτος κατὰ διαδοχήν.

25. Ἐνώπιον τοῦ Βήσμα τε καὶ τοῦ Δρόνα, καὶ τῶν λοιπῶν βασιλέων (ἡγεμόνων) πάντων, «Ἰδὲ, ἔφη ὦ Ἀρζούνα, τοὺς » ἐκ γένους Κουροῦ συνηγμένους ἐνταῦθα».

26. Ἐκεῖ εἶδεν ὁ Ἀρζούνας ἑστῶτας θείους πρὸς πατρὸς, πάππους, διδασκάλους, πρὸς μητρὸς θείους, ἀδελφοὺς, υἱοὺς, υἱωνοὺς, φίλους,

27. Πενθεροὺς καὶ συγγενεῖς, ἑταίρους καὶ γνωστοὺς, ἐν ἀμφοτέροις τοῖς στρατοῖς. Ἰδὼν οὖν ἐκεῖνος ἀκριβῶς αὐτοὺς πάντας τοὺς οἰκείους ἱσταμένους,

28. Πολλῷ ἐλέῳ κατασχεθεὶς, ἔφη ἀχθόμενος·

ΑΡΖΟΥΝΑΣ.

«Ἰδόντος μου, ὦ Κρισνᾶ, τούτους τοὺς συγγενεῖς πα-
» ρισταμένους καὶ πολεμησείοντας,

29. «Τὰ μὲν μέλη μου διαλύεται, τὸ δὲ πρόσωπόν μου μα-
» ραίνεται· τρόμος δὲ καὶ φρίκη ἐπιγίνεται τῷ σώμα-
» τί μου[1],

30. «Καὶ τὸ τόξον πίπτει ἐκ τῆς χειρός μου, καὶ τὸ δέρ-
» μα μου περιφλέγεται· οὐδὲ δύναμαι ἵστασθαι, καὶ ὁ
» νοῦς μου ἰλιγγιᾷ καὶ παραφέρεται.

31. «Κακοὺς οἰωνοὺς βλέπω, ὦ Κρισνᾶ· ἀνελὼν οἰκείους ἐν
» πολέμῳ, οὐδὲν ἀγαθὸν ἐλπίζω τέλος.

32. «Οὐκ ἐφίεμαι νίκης καὶ βασιλείας, οὐδὲ τρυφῶν καὶ
» ἡδονῶν· τί γὰρ ὄφελος ἡμῖν ἀπὸ τῆς βασιλείας; τί
» δ' ἀπὸ τῆς ἡδυπαθείας, ἢ καὶ τῆς ζωῆς αὐτῆς;

33. «Δι' οὓς, εἰ ἔζων, ἦν ἂν ἡμῖν ἐφετὴ ἡ βασιλεία, καὶ αἱ
» τρυφαὶ, καὶ αἱ ἡδοναὶ, οὗτοι, εἰς οὐδὲν τιθέμενοι τὰς
» ψυχὰς ἑαυτῶν καὶ τὰ πλούτη, πάρεισιν ἐνταῦθα εἰς
» πόλεμον[2],

---

1. Κακοὶ οἰωνοί εἰσι τὸ τρέμειν καὶ φρίττειν κτλ.
2. Εἰς τὸ ἀποθανεῖν (Δ. Γρ.).

34. «Διδάσκαλοι, πατέρες, υἱοί, προπάτορες, πρὸς μητρὸς
» θεῖοι, πενθεροί, υἱωνοί, γυναικάδελφοι, καὶ συγγενεῖς
» ὁμοίως.

35. «Ὅθεν καὶ εἰ μ' ἀνέλοιεν, οὐκ ἂν βουλοίμην τούτους
» ἀνελεῖν. Ἐγώ, εἰ καὶ ὑπὲρ τῶν τριῶν κόσμων [1], οὐκ
» ἀνέλοιμι ἂν τούτους, πολλῷ δὲ μᾶλλον ὑπὲρ τῆς γῆς
» ταύτης.

36. «Ὁποῖον ἀγαθὸν [2] γένοιτ' ἂν ἡμῖν, ἀνελοῦσι τοὺς υἱοὺς
» τοῦ Δρυταράστρα; μάλιστα δ' ἀμπλάκημα προσαφθείη
» ἂν ἡμῖν, ἀνελοῦσιν αὐτούς, καίπερ ἀξίους ὄντας ἀναι-
» ρεθῆναι [3].

37. «Ἀνοίκειον ἄρα ἡμῖν ἀνελεῖν τοὺς υἱοὺς τοῦ Δρυταρά-
» στρα, συγγενεῖς ὄντας· πῶς γὰρ ἂν εὔθυμοι γενοίμε-
» θα, τοὺς οἰκείους ἀνελόντες;

38. «Εἰ μὲν οὖν αὐτοί, διεφθαρμένοι τὸν νοῦν ἐκ τῆς πλεο-
» νεξίας, οὐκ αἰσθάνονται τοῦ κακοῦ, τοῦ γενησομένου
» ἐκ τῆς διαφθορᾶς τοῦ γένους, καὶ τοῦ ἀμπλακήματος
» ἐκ τῆς τῶν οἰκείων ἀναιρέσεως,

39. «Διὰ τί ἡμεῖς γε [4] οὐ σκεπτόμεθα τούτου ἀποστῆναι
» τοῦ ἁμαρτήματος, ἔχοντες πρὸ ὀφθαλμῶν [5] τὸ γενησό-
» μενον κακὸν ἐκ τῆς διαφθορᾶς τοῦ γένους;

40. «Τὰ γὰρ παραδεδεγμένα αἰώνια ἔθιμα καὶ νόμιμα τῆς
» φυλῆς φθείρονται ὑπὸ τῆς διαφθορᾶς τοῦ γένους· τοῦ
» δὲ νομίμου φθαρέντος, τὸ ἄνομον ἐπιγίνεται [6] τῷ
» ὅλῳ γένει.

41. «Τοῦ δὲ ἀνόμου ἐπιγενομένου, αἱ γυναῖκες τοῦ γένους

---

1. Δηλ. τοῦ καταχθονίου, ὑπερχθονίου καὶ οὐρανίου.
2. Χαρά, ἀγαλλίαμα (Δ. Γ.)
3. Καίπερ ἐχθροὺς ὄντας. (Πρ. Γ.)
4. Πῶς ἡμεῖς. (Πρ. Γ.)
5. Βλέποντες (Δ. Γ.)
6. Ἐπιπολάζει (Δ. Γ.)

» φθείρονται· τῶν δὲ γυναικῶν φθαρεισῶν, ἑτερογενεῖς
» καὶ νόθοι γίνονται [1].

42. «Ἡ δὲ νοθεία ᾅδου πρόξενος [2]· ἔστι γὰρ καὶ τοῖς ἀνε-
» λοῦσι τοὺς συγγενεῖς καὶ τῷ ὅλῳ γένει· τούτων γὰρ οἱ
» προπάτορες καταπίπτουσιν εἰς τὸν ᾅδην, διὰ τὴν ἔλ-
» λειψιν τῶν ποπάνων καὶ τοῦ ὕδατος [3].

43. «Τὰ γὰρ αἰώνια ἔθιμα τῆς φυλῆς καὶ τοῦ γένους ἐλλεί-
» πουσιν ἐξ αἰτίας τῶν νοθοποιῶν τούτων κακῶν, τῶν
» ἀνελόντων τὸ γένος, ὁμοίως δὲ καὶ τὰ αἰώνια ἔθιμα
» καὶ νόμιμα τοῦ γένους.

44. «Οἱ δ' ἐν ἐλλείψει ὄντες τῶν νομίμων καὶ ἐθίμων τοῦ
» γένους καὶ τῆς φυλῆς [4] αἰωνίως ἐν ᾅδου μένουσιν [5]·
» οὕτως ἀκούομεν [6] παρὰ τῶν ἱερῶν βιβλίων.

45. «Ὢ! μέγα ἁμάρτημα τῷ ὄντι ἐγνώκαμεν πρᾶξαι, παρα-
» σκευασθέντες ἀνελεῖν τοὺς οἰκείους, πλεονεξίᾳ φερόμενοι
» βασιλικῆς τρυφῆς!

46. «Ὥστε ἥδιόν μοι ἐστὶν, ἐὰν οἱ τοῦ Δρυταράστρα υἱοὶ,
» ἔνοπλοι ὄντες, φονεύσωσιν ἐμὲ, μηδαμῶς ἀμυνόμενον,
» καὶ ἄοπλον ὄντα [7].»

---

1. Δηλ. ἀποθανόντων τῶν ἀνδρῶν, συμφθείρονται αἱ γυναῖκες ἀνδράσιν ἑτέρας φυλῆς, ὅπερ παράνομον παρὰ τοῖς Ἰνδοῖς.

2. Οἱ δὲ νόθοι ἄξιοι τοῦ ᾅδου (Πρ. Γρ.)

3. Ἔθος ἐστὶ προσφέρειν τοὺς γνησίους υἱοὺς πόπανα καὶ χοὰς ὑδάτων τοῖς πατράσι, τοῖς προπάτορσι καὶ προπάπποις· ὅταν δὲ στερηθῶσιν αἱ ψυχαὶ τούτων τῶν νομίμων καὶ δικαίων, διὰ τὴν ἔλλειψιν τῶν γνησίων συγγενῶν, δοξάζουσιν οἱ Ἰνδοί, ὅτι αἱ ψυχαὶ ἐκείνων καταπίπτουσιν εἰς τὸν ᾅδην.

4. Ἡ φυλὴ συνίσταται πολλοῖς γένεσι· καὶ ἄλλο μὲν γένος ἔχει τοῦτο τὸ ἔθιμον, ἄλλο δ' ἐκεῖνο· ἄλλο λατρεύει τούτῳ τῷ Θεῷ, ἄλλο δ' ἐκείνῳ.

5. Οἱ δ' ὄντες ἐν ᾅδου, μένουσιν ἐκεῖ αἰωνίως, μὴ γενομένων τῶν ἐθίμων ὑπὲρ ἀνέσεως αὐτῶν ὑπὸ τῶν γνησίων συγγενῶν.

6. Οὕτως ἐμάθομεν παρὰ τῶν ἱερῶν καὶ νομικῶν βιβλίων.

7. Αἰσχύνη γὰρ ἦν μὴ ἀμύνασθαι, καὶ τὸ ῥίψαι τὰ ὅπλα.

ΣΑΝΖΑΪΑΣ.

47. Τοιαῦτα μὲν οὖν, εἰρηκὼς ὁ Ἀρζούνας ἐπὶ τοῦ ἀγῶνος, ῥίψας τὸ τόξον, ἅμα τῷ βέλει, ἐκάθησεν ἐπὶ τοῦ δίφρου, διατεταραγμένος τὴν καρδίαν ὑπ' ἀθυμίας.

ΚΕΦΑΛΑΙΟΝ Β'.

1. Ὁ δὲ Κρισνᾶς εἶπεν αὐτῷ, ὑπ' ἐλέου κατειλημμένῳ, δακρύων τε τοὺς ὀφθαλμοὺς πεπληρωμένῳ καὶ λελυπημένῳ·

ΚΡΙΣΝΑΣ.

2. «Πόθεν, ὦ Ἀρζούνα, προσεγένετό σοι [1] ἐπὶ τοῦ πολέμου
» ἡ ἄγνοια αὕτη [2], ἡ ζηλωτὴ μικροπρεπέσιν [3], ἡ οὖσα πα-
» ράνομος [4] ἀθέμιτος [5], καὶ δυσφημίας πρόξενος;
3. «Μὴ ποίει ἔργον ἀγενοῦς καὶ ἀνάνδρου· ἐπεὶ οὐχ ἁρμό-
» ζει σοι· ἄφες τὴν εὐτελῆ ἀδράνειαν καὶ ἔκλυσιν τῆς
» καρδίας σου, καὶ ἀνάστα εἰς πόλεμον.»

ΑΡΖΟΥΝΑΣ.

4. «Πῶς ἐγὼ, ἔφη, ὦ Κρισνᾶ, μαχόμενος βέλη βάλω κατὰ

---

1. Ἐπεισῆλθε, ἀνεφάνη σοι (Δ. Γ.)

2. Ἡ ἀθυμία. (Πρ. Γρ.)

3. Σὺ γὰρ εἶ Ξατρής· οἱ δε Ξατραὶ ὀπαδοὶ τοῦ Ἄρεως.

4. Ἀναξία τοῦ Ὀλύμπου. Πρ. γρ. — Οἱ γὰρ Ἰνδῶν νόμοι φασὶν, ὅτι ὁ ἥρως ἔρχεται κατ' εὐθεῖαν εἰς τὸν παράδεισον· ἢ, μὴ ποιῶν τὸ χρέος, ὃ ἔχει, τὸ πολεμῆσαι, καθὸ Ξατρῆς, ἁμαρτάνει· ὁ δ' ἁμαρτάνων ἀνάξιος ἐστὶ τοῦ οὐρανοῦ.

5. Ἑπτά εἰσι τὰ ἁμαρτήματα, δι' ἃ ὁ νόμος ἐπιτάττει ἐχθρευτέον εἶναι, καὶ πολεμητέον.

» τοῦ Βήσμα καὶ Δρόνα, ἀξίοιν ὄντοιν τιμῆς καὶ θερα-
» πείας [1];

5. «Κάλλιον ἔστι μοι ζῆν ἐπαίτην γενόμενον ἢ ἀνελεῖν [2], » τοιούτους ἄνδρας σεβασμίους καὶ περιφανεῖς [3] καὶ πι- » στοὺς θεράποντας [4] ἐν τούτῳ τῷ βίῳ, καὶ τρυφῆσαι » τρυφὰς βιωτικὰς, μεμιγμένας αἵματι.

6. «Ἡμεῖς οὐκ οἴδαμεν πότερον κρεῖττόν [5] ἐστιν, ἐὰν ἡμεῖς » ἐκείνους ἀνέλωμεν [6], ἢ ἐκεῖνοι ἡμᾶς; οὓς γὰρ ἡμεῖς » ἀνελόντες [7] οὐκ ἐφιέμεθα ζωῆς, οὗτοι ἵστανται ἐν τῷ » μετώπῳ τοῦ στρατοῦ.

7. «Φοβούμενος [8] οὖν μή που συμβῇ τὸ κακόν [9], ἐπειδὴ ἡ » φύσις μου τοσοῦτον ἐξεθηλύνθη ἔκ τε τοῦ πρὸς τοὺς » συγγενεῖς ἐλέους, καὶ ἐκ τῆς τοῦ γένους διαφθορᾶς, καὶ » ἐπειδὴ ἀμφιγνοῶ τὰ τοῦ νόμου, ἐρωτῶ σε, εἰπέ μοι » σαφῶς ποῖόν ἐστι τὸ βέλτιον [10]; Ἐγὼ γίνομαι μαθητής » σου· δίδαξόν με προσελθόντα [11] σοι.

8. «Οὐ γὰρ θεωρῶ [12] ὅ,τι ἐξαλείψεις [13] τὴν ἀθυμίαν ταύ-

---

1. Ὅτε ἔδει ἄνθη βάλλειν κατ' αὐτῶν, πῶς ἤδη βέλη βάλω θανατηφόρα; (Π.Γ.)

2. Θανάτῳ παραδοῦναι φονεῦσαι. (Δ. Γ.)

3. Οἷος ὁ διδάσκαλος Δρόνας καὶ ὁ γηραλέος Βήσμας.

4. Ἡ Βραχμ. λέξις τοῦ κειμένου κυρίως σημαίνει φιλοχρώματος, ἐνταῦθα δὲ μεταφρ. σημαίνει πιστὸς θεράπων.

5. Φέριστόν ἐστιν. (Δ. Γρ.)

6. Νικήσωμεν. (Δ. Γρ.)

7. Θανατώσαντες. (Δ. Γρ.)

8. Φειδόμενος. (Δ. Γρ.)

9. Μήπου φθαρῇ δηλ. τὸ γένος, ὡς ἔφη ἀνωτέρω· δι' ἣν αἰτίαν ὢν Ξατρὴς, ὀπαδὸς τοῦ Ἄρεως, ἐξεθηλύνθη ἐς τοσοῦτον.

10. Μὴ εἰδὼς δηλ. εἰ νόμιμόν ἐστι τῷ Ξατρῇ γενέσθαι ἐπαίτην, ἀλλὰ μὴ πολεμῆσαι.

11. Προσφοιτῶντά σοι. (Δ. Γρ.)

12. Νοῶ. (Δ. Γρ.)

13. Ἀποπέμψεις. (Δ. Γρ.)

» την, τὴν τὰς αἰσθήσεις μου κατατήκουσαν[1], οὐδ' ἂν
» κτήσωμαι ἐπὶ γῆς ὀλβίαν μοναρχίαν[2], οὐδέγ' ἐν οὐρα-
» νῷ βασιλείαν[3]. »

ΣΑΝΖΑΪΑΣ.

9. Οὕτως εἰπὼν, ὁ τῶν ἐχθρῶν ὀλέτωρ Ἀρζούνας πρὸς τὸν Κρισνᾶν, ὡς οὐ πολεμήσει, σιγὴν ἔσχε.

10. Ὁ δὲ Κρισνᾶς, μειδιάσας[4], ἀπεκρίνατο αὐτῷ ἀθύμως ἔχοντι[5] ἐν μέσῳ ἀμφοῖν τοῖν στρατοῖν·

ΚΡΙΣΝΑΣ.

11. «Σὺ μὲν λυπῇ ἐπὶ τοῖς μὴ ἀξίοις λύπης, καὶ σοφοὺς
» λέγεις λόγους[6]· οἱ σοφοὶ δ' ὅμως οὐδέποτε λυποῦνται
» οὔτ' ἐπὶ τοῖς θνήσκουσιν, οὔτ' ἐπὶ τοῖς ζῶσιν.

12. «Οὐκ ἦν χρόνος, ὅτε οὐκ ἦμεν οὔτ' ἐγὼ, οὔτε σὺ, οὔθ'
» οὗτοι οἱ βασιλεῖς καὶ ἡγεμόνες, οὐδὲ μὴν ἔσται, ὅτε
» οὐκ ἐσόμεθα[7]· ἅπαντες δ' ἦμεν καὶ ἐξάπαντος ἐσό-
» μεθα.

13. «Καὶ καθὼς τῇ ζωτικῇ ψυχῇ ἐν τούτῳ τῷ σώματι καὶ
» παιδικὴ ἐστι, καὶ νεανικὴ, καὶ γεροντικὴ ἡλικία, οὕτω
» μετὰ θάνατον ἄλλο πάλιν σῶμα συλλαμβάνει[8] αὐτὴ

---

1. Καταφρύγουσαν. (Δ. Γρ.)

2. Ἄνευ ἀντιπάλου βασιλείαν, αὐτελεξεί.

3. Οὐδέγε βασιλείαν οὐρανίαν, θείαν. (Δ. Γρ.)

4. Γελάσας. (Δ. Γρ.)

5. Ἀθυμοῦντι. (Δ. Γρ.)

6. Λέγεις σοφῶν μόνον λόγους, πρὶν ἐγὼ τὸν Βήσμαν καὶ τὸν Δρόναν, σεβασμίους ὄντας, ἀνέλω ἐν πολέμῳ, σοφὸς ὅμως οὐκ εἶ.

7. Ἐνταῦθα δογματίζει τὴν ψυχὴν ἄναρχον καὶ ἀτελεύτητον.

8. Ἐνταῦθα δογματίζει, ὡς τὸ σῶμα γεννᾶται καὶ θνήσκει, ἀλλ' οὐχὶ ἡ ψυχή.

» ἡ ψυχή[1]· ὥστε ὁ σοφὸς οὐκ ἀνοηταίνει[2] ἐν τῇ γε-
» νέσει καὶ φθορᾷ τοῦ σώματος.

14. «Ὅσα μὲν οὖν ὑπὸ τὴν αἴσθησίν εἰσι, προξενοῦντα ὁτὲ
» μὲν ψύχος, ὁτὲ δὲ καῦμα, καὶ ὁτὲ μὲν χαρὰν, ὁτὲ δὲ
» λύπην, καὶ γίνονται, καὶ ἀπογίνονται, καὶ διὰ τοῦτο
» πρόσκαιρά εἰσι, τούτοις ἐγκαρτέρει.

15. «Ὅν τινα δὲ τὰ ὑπὸ τὴν αἴσθησιν ταῦτα οὐ καταπονοῦσιν,
» ἀδιάφορον[3] ὄντα καὶ ἐν ἀγαθοῖς καὶ ἐν κακοῖς[4], καὶ
» ἀδιάπτωτον, οὗτος ἄξιός ἐστι τῆς ἀθανασίας[5].

16. «Τῇ μὲν ματαιότητι[6] οὐκ ἔστιν ἀλήθεια, τῇ δὲ ἀληθείᾳ
» οὐκ ἔστι ματαιότης. Τὸ ψεῦδος οὐ πέφυκεν ἀλήθεια, καὶ
» τὸ μὴ ὂν οὐ πέφυκεν ὄν· οὕτω περὶ τούτων ἀμφοτέ-
» ρων θεωρήσαντες ἀπεφήναντο οἱ γνῶσται τῶν ὄντων[7].

17. «Οὗ δὲ τὸ πᾶν τοῦτο πλῆρές ἐστι, τοῦτο γίνωσκε
» ἄφθαρτον[8]· τῷ δὲ ἀφθάρτῳ τούτῳ οὐδεὶς ἱκανός ἐστι
» φθορὰν ποιῆσαι.

18. «Φθίνοντα δὲ ἐῤῥέθησαν παρὰ τοῖς θεολόγοις τὰ σώματα

---

1. Ἐνταῦθα δογματίζει τὴν μετασωμάτωσιν τῆς ψυχῆς, τὴν μετεμψύχωσιν.

2. Οὐκ ἀνοηταίνει ἐπὶ τῇ γενέσει καὶ φθορᾷ τοῦ σώματος, εἰδὼς ὅτι ἡ ψυχὴ οὔτε γεννᾶται, οὔτε θνήσκει.

3. Ὅμοιον. (Δ. Γρ.)

4. Μήτε χαίροντα ἐπὶ τοῖς χαρμοσύνοις, μήτε λυπούμενον ἐπὶ τοῖς λυπηροῖς· τοῦτο δόγμα ἐστὶ καὶ τῶν Στωϊκῶν.

5. Τῆς πρὸς τὸν Θεὸν ἑνώσεως. (Δ. Γρ.) — Οὐ μεταγεννᾶται δηλ. ἀλλ' ἑνοῦται τῷ Θεῷ.

6· Ἵνα μὴ εἴπῃ, ὅτι ἐκ τοῦ σφοδροῦ ψύχους ἢ καύματος ἡ ψυχὴ ὄλλυται, διὰ τοῦτο ἐπιφέρει «Τῇ ματαιότητι κτλ.» Ματαιότης δ' ἐστὶ τὰ περὶ τὸ σῶμα, τὰ ἀγαθὰ καὶ κακὰ, ὡς φύσει μάταια, διὸ καὶ ψευδῆ καὶ πρόσκαιρα· ἀλήθεια δὲ ἡ ψυχὴ, ὡς φύσει ἀληθὴς, διὸ καὶ μόνιμος καὶ ἄφθαρτος.

7. Οἱ Θεολόγοι.

8. Ἐνταῦθα ἐννοεῖ τὴν ψυχὴν τοῦ Παντὸς, ἥτις ἐστὶν ὁ Θεὸς, καθὼς καὶ οἱ Στωϊκοὶ δοξάζουσιν.

» ταῦτα, τῆς ψυχῆς [1] οὔσης ἀϊδίου, ἀφθάρτου, ἀμέτρου [2], » ἀκαταλήπτου, καὶ ἀπεριορίστου. Ταῦτ' ἄρα πολέμει, » κατὰ τὸν νόμον τῶν Ξατρῶν.

19. «Ὅστις δοξάζει τὴν ψυχὴν φθαρτικὴν, ἢ ὅστις φρονεῖ » αὐτὴν φθαρτὴν, ἀμφότεροι οὗτοι οὐδὲν οἴδασιν· ἡ γὰρ » ψυχὴ οὔτε φθείρει, οὔτε φθείρεται [3].

20. «Οὔτε μὴν γεννᾶταί ποτε, οὔτε θνήσκει, ἀλλ' οὐδὲ με- » ταγίνεται, μὴ γεγενημένη [4]· ἀγέννητος δὲ, ἀΐδιος, » ἀμείωτος, ἀμετάτρεπτος, διηνεκὴς, παλαιὰ [5] καὶ ἀναλ- » λοίωτός ἐστι, καὶ οὐκ ἀναιρεῖται, τοῦ σώματος ἀναιρου- » μένου.

21. «Ὅστις οὖν δοξάζει τὴν ψυχὴν ἄφθαρτον, ἀΐδιον, ἀγέν- » νητον καὶ ἀμετάτρεπτον [6], πῶς οὗτος οἰηθήσεται, » ὡς αὐτὸς ἀναιρεῖ, ἢ αἴτιος γίνεται ἀναιρεθῆναι [7];

22. «Καθὼς γὰρ ὁ ἄνθρωπος, ἀφεὶς τὰ παλαιὰ ἱμάτια, ἄλλα » καινὰ ἐνδύεται, οὕτω καὶ ἡ ψυχὴ, ἀφεῖσα τὰ παλαιὰ » σώματα, ἄλλα νέα ἐνδύεται [8].

23. «Τὰ ὅπλα οὐ τέμνουσι τὴν ψυχὴν, καὶ τὸ πῦρ οὐ φλέγει

---

1. Ἐνταῦθα ἐννοεῖ τὴν κατὰ μέρος ψυχὴν, ἢ οὐδεμίαν διαφορὰν ἔχει τῆς καθόλου ψυχῆς, τοῦ Θεοῦ, παρὰ τοῖς φιλοσόφοις τῶν Ἰνδῶν.

2. Αὐτολεξεὶ, ἄνευ μέτρου, ἤτοι ἀπείρου.

3. Οὔτε ἐνεργεῖ, οὔτε πάσχει. Τοῦτο λέγει δὲ ὃ εἴρηκεν ὁ Ἀρζούνας: « Οὐ βούλομαι ἀνελεῖν τὸν Βήσμαν, » κτλ.

4. Ἐπειδὴ οὐκ ἐγένετο, διὰ τοῦτο οὐδὲ μεταγίνεται· καθὼς τόδε τὸ σῶμα ἐπειδὴ ἐγένετο, διὰ τοῦτο καὶ μεταγίνεται.

5. Τὸ παλαιὸν ἐκλαμβάνεται παρ' Ἰνδοῖς καὶ ἐπὶ τοῦ προαιωνίου καὶ ἀνάρχου, ὡς καὶ παρ' Ἑβραίοις ἐν τῇ Μωσαϊκῇ βίβλῳ, «ὁ παλαιὸς τῶν ἡμερῶν.»

6. Ἀναλλοίωτον.

7. Εἰ οὖν καὶ σὺ, ὥσπερεὶ ἔλεγε, δοξάζεις τὴν ψυχὴν ἀθάνατον, μὴ νομίσῃς ὅτι καὶ αὐτὴ ἐθανατώθη, τοῦ σώματος θανατωθέντος· ὅθεν οὐκ ἔσῃ ἔνοχος οὔτε σὺ, ὁ τὰ σώματα τῶν ἐχθρῶν ἀναιρήσων, οὔτ' ἐγὼ ὁ αἴτιός σοι γινόμενος.

8. Παράδειγμα λαμπρὸν τῆς μετεμψυχώσεως, ἥνπερ, ὡς κολοφῶνα τῶν δογμάτων αὐτοῦ ἀπρὶξ ἐνηγκαλίσατο καὶ ὁ Ἑλληνικὸς Βεάσας, ὁ Πυθαγόρας.

» αὐτὴν, οὐδὲ μὴν τὸ ὕδωρ μαλάσσει, ἢ ὁ ἀὴρ μαραίνει
» αὐτήν·

24. «Διὸ καὶ λέγεται ἄτμητος [1], ἄφλεκτος, ἀμάλακτος,
» ἀμάραντος, ἀδιάφθορος, πανταχοῦ διήκουσα, ἀμετάτρε-
» πτος, ἀμετασχημάτιστος, ἄναρχος,

25. «Ἀόρατος, ἀκατανόητος, καὶ ἀπαθής. Τοιαύτην τοι-
» γαροῦν εἰδότι τὴν ψυχὴν, οὐκ ἄξιόν σοι λυπεῖσθαι.

26. «Εἰδὲ καὶ νομίζεις τὴν ψυχὴν ἀειγέννητόν τε καὶ ἀεί-
» θνητον, ἀλλὰ καὶ οὕτω, λυπεῖσθαι οὐ πρέπον σοί ἐστιν,
» ὦ μεγαλοβραχίων.

27. «Τοῦ γὰρ γεννητοῦ ὁ θάνατος βέβαιος, ὡς καὶ τοῦ θνη-
» τοῦ ἡ γέννησις· ὅθεν οὐ δεῖ σοι [2] λυπεῖσθαι ἐπὶ τῷ ἀφεύ-
» κτως γεννησομένῳ [3].

28. «Τὰ γεμὴν σώματα, ἔχοντα μὲν τὴν ἀρχὴν ἐκ τῆς ὕλης [4],
» ὁρώμενα δὲ ἐν τῷ μεταξὺ χρόνῳ τῆς γενέσεως καὶ
» φθορᾶς αὐτῶν, πάλιν εἰς ἐκείνην διαλύονται. Ἐν τού-
» τοις οὖν, ὁποία θρηνολογία;

29. «Ἄλλος μὲν ἀπορῶν θεωρεῖ αὐτὴν τὴν ψυχὴν, ἄλλος δὲ
» θαυμάζων λέγει περὶ αὐτῆς, ἄλλος δὲ ἐξιστάμενος
» ἀκούει περὶ αὐτῆς, καὶ ἄλλος ἀκούων οὐ γινώσκει
» αὐτήν [5].

---

1. Ἄτμητος, καθὸ ἀμελής· ἄφλεκτος, καθὸ ἀσώματος· ἀμάραντος, καθὸ ἄϋλος.

2. Οὐκ ἄξιος εἶ. (Δ. Γρ.)

3. Τουτέστιν ἐπὶ τοῖς μὴ δυναμένοις ἄλλως πως γενέσθαι· ἢ γὰρ σήμερον, ἢ αὔριον, ἀνάγκη ἀποθανεῖν.

4. Ὁ Βεάσας δοξάζει τὴν ὕλην, ὡς καὶ ὁ Πλάτων, ἐκμαγεῖον καὶ πανδεχὲς, καὶ τιθήνην, καὶ μητέρα, καὶ χώραν, καὶ ἄμορφον, καὶ ἄποιον, καὶ ἀνείδεον, καὶ οὔτε σῶμα, οὔτε ἀσώματον, ἥτις πᾶσαν γένεσιν συνίστησι, καὶ πάλιν αὐτὴν ὑποδέχεται.

5. Ἐνταῦθα λέγει τὸ δυσκατάληπτον τῆς ψυχῆς, ὅτι καὶ αὐτοὶ οἱ σοφοὶ ἀπορεῦσι περὶ αὐτῆς, οἱ μὴ ἔχοντες τὴν θεωρητικὴν γνῶσιν.

30. «Αὕτη δὲ ἡ ψυχὴ, ἡ οὖσα ἀνώλεθρός τε καὶ ἀΐδιος, ἐν
» ἅπασίν ἐστι τοῖς σώμασι[1]· οὐ δεῖ σοι[2] ἄρα λυπεῖσθαι
» ἐφ' ἅπασι τοῖς σώμασι.

31. «Σκεψαμένῳ δέ σοι τὸν νόμον τῆς σεαυτοῦ φυλῆς[3], ἀνοί-
» κειόν ἐστι τρέμειν[4]· τὸ γὰρ μακάριον καὶ εὔδαιμον
» τοῦ Ξατρῆ οὐκ ἐπιγίνεται ἐξ ἄλλου του, ἀλλ' ἢ ἐκ τοῦ
» νομίμου καὶ δικαίου πολέμου[5].

32. «Εὐδαίμονες ἄρα εἰσὶν οἱ Ξατραὶ ἐκεῖνοι, οἳ τοιούτου
» ἐπιτυγχάνουσι πολέμου, αὐτομάτου καὶ προχείρου, ὅς
» ἐστι θύρα[6] ἀναπεπταμένη τοῦ οὐρανοῦ[7].

33. «Εἰ δέγε σὺ τοῦτον τὸν θεμιτὸν πόλεμον οὐ ποιήσεις,
» ἐν μηδενὶ τιθέμενος τὰ τοῦ οἰκείου νόμου, καὶ τὸν ἔπαι-
» νον[8], ἁμαρτήσεις·

34. «Οἱ γὰρ ἄνθρωποι ἀεί σου κατηγορήσουσι· ἡ δὲ κατη-
» γορία παρὰ τῷ ἐνδόξῳ καὶ ἐντίμῳ βαρυτέρα[9] θανάτου
» καθέστηκεν.

---

1. Οὐχὶ μόνον ἐν τοῖς σώμασι τῶν συγγενῶν σου, ἀλλὰ καὶ ἐν ἅπασι τοῖς ἄλλοις ἡ αὐτὴ ψυχὴ πέφυκεν, ἀνώλεθρός τε καὶ ἀπαθής· ὅθεν οὐκ ἄξιον λυπεῖσθαι ἐφ' ἅπασι τοῖς σώμασι.

2. Διὸ οὐκ ἄξιον λυπεῖσθαι κτλ. (Δ. Γρ.)

3. Τέσσαρες φυλαὶ εἰσὶ παρ' Ἰνδοῖς, Βραχμᾶνες, Ξατραὶ, Βαΐσαι, καὶ Σοῦδραι· καὶ τοῖς μὲν Βραχμᾶσι, νόμος ἐστὶ τὸ εὔχεσθαι καὶ διδάσκειν, τοῖς δὲ Ξατραῖς τὸ πολεμεῖν καὶ διοικεῖν, τοῖς Βαΐσαις τὸ ἐμπορεύεσθαι καὶ γεωργεῖν, τοῖς δὲ Σούδραις τὸ δουλεύειν.

4. Ὁ Κρισνᾶς διὰ πολλῶν παραδειγμάτων ἀναῤῥωσθῆναι καὶ ἀναλαβεῖν ποιεῖ τὸν Ἀρζοῦναν, εἰπόντα πρότερον, ὡς τὸ σῶμα αὐτοῦ τρέμει, καὶ ὁ νοῦς ἰλιγγιᾷ, κτλ.

5. Τοῦτο δ' ἔστιν εἰς ἀναίρεσιν τοῦ «ἀνελὼν οἰκείους ἐν πολέμῳ, οὐκ ἀγαθὸν ἐλπίζω τέλος.»

6. Ἐπειδὴ δοξάζουσιν, ὡς ὁ ἀποθανὼν ἐν πολέμῳ εἰσέρχεται κατ' εὐθεῖαν εἰς τὸν παράδεισον, διὰ τοῦτο λέγει ἐνταῦθα, ὡς ὁ πόλεμος θύρα ἀναπεπταμένη ἐστὶ τοῦ οὐρανοῦ, δι' ἧς εἰσέρχεται ἀκωλύτως ὁ τελευτήσας γενναίως.

7. Τοῦτο ἐπήγαγε πρὸς ὃ ὁ Ἀρζούνας προείρηκε. «Πῶς ἂν εἴημεν εὐτυχεῖς, τοὺς οἰκείους θανατώσαντες;»

8. Τὸ κλέος. (Δ. Γρ.)

9. Ὑπὲρ τὸν θάνατον καθέστηκε. (Πρ. Γρ.)

35. «Οἱ δὲ μαχαράται οἰηθήσονταί σε ἄπο πολέμου γεγο-
» νέναι ἐκ φόβου· παρ' οἷς δὲ μεγαλόφρων ἐλογίσθης,
» μικρόφρων κριθήσῃ[1].

36. «Οὐ μὴν ἀλλὰ καὶ οἱ ἐχθροί σου οὐκ ὀλίγα ἀνοίκεια καὶ
» ἄῤῥητα ἐροῦσι, καὶ τὴν δύναμίν σου μυκτηριοῦσι· τού-
» του δὲ τί ἄλλο μᾶλλον λυπηρόν;

37. «Πρὸς δὲ, ἀποκτανθεὶς μὲν, ἀπολαύσεις τοῦ οὐρανοῦ· ζή-
» σας δὲ μετὰ νίκης[2], τρυφήσεις τῶν τῆς γῆς[3]· ἀνθ' ὧν
» γνώμην ποιησάμενος περὶ τοῦ πολέμου, ἀνάστα.

38. «Τὴν δὲ χαρὰν καὶ λύπην, καὶ τὴν ἐπιτυχίαν καὶ ἀποτυ-
» χίαν, καὶ τὴν νίκην καὶ ἧτταν, πάντα ταῦτα τὰ αὐτὰ
» καὶ ἀδιάφορα νομίσας, συσκευάζου[4] ἐπὶ πόλεμον καὶ
» οὐχ' ἁμαρτήσεις[5].

39. «Αὕτη μὲν οὖν ἡ περὶ τὴν θεῖαν γνῶσιν[6] θεωρητικὴ ἀρε-
» τὴ (ὅτι ἀδιάφορα ἧτε λύπη καὶ χαρὰ, καὶ ὅτι τὸ σῶ-
» μα θνήσκει, οὐχὶ δὲ καὶ ἡ ψυχὴ) ἐῤῥέθη σοι ὑπ' ἐμοῦ.
» Νῦν δ' ἄκουσον[7] καὶ τὴν πρακτικὴν ἀρετὴν, ἣν ποιῶν
» περὶ οὐδενὸς λογίσῃ[8] τὸν τῶν ἔργων καρπὸν, ὅς ἐστι
» δεσμός[9].

---

1. Παρ' οἷς δὲ μέγας ἐνομίσθης, μικρὸς φανήσῃ παρὰ τούτοις. (Πρ. Γρ.)

2. Νικήσας. (Δ. Γρ.)

3. Τοῦτό ἐστιν εἰς ἀπόκρισιν τοῦ «ἡμεῖς οὐκ οἴδαμεν πότερον φέριστόν ἐστιν ἐὰν ἡμεῖς ἐκείνους νικήσωμεν, ἢ ἐκεῖνοι ἡμᾶς;» οἱονεὶ ἔλεγεν· ἑκατέρωθεν κερδανεῖς.

4. Παρασκευάζου. (Δ. Γρ.)

5. Τοῦτο λέγει εἰς ἀπόκρισιν τοῦ «μάλιστα δ' ἀμπλάκημα γένοιτ' ἂν ἡμῖν·» ποιῶν γὰρ τὰ τοῦ δικαίου νόμου οὐχ ἁμαρτήσεις, ὧν ἀδιάφορος εἰς τὴν χαρὰν καὶ εἰς τὴν λύπην, ὧν ἡ μέν ἐστιν ἐξ ἥττης, ἡ δὲ ἐκ νίκης.

6. Αὕτη μὲν οὖν ἡ περὶ τῆς ἀθανασίας γνῶσις (Πρ. Γρ.).

7. Ἄκουσον δ' αὐτὴν ἤδη καὶ πρακτικῶς (Πρ. Γρ.).

8. Καταφρονήσεις δηλ. πλοῦτον, καὶ εὐγένειαν, καὶ εὐτεκνίαν καὶ ἄλλα τοιαῦτα νομιζόμενα ἀγαθὰ, ἢ καὶ τὸ τυχεῖν καὶ αὐτοῦ τοῦ οὐρανοῦ.

9. Ὁ μὲν Βεάσα; δοξάζει πρᾶξιν καὶ θεωρίαν δύο ἀναγκαίας ἀρετὰς, εἰς

40. «Ἐν ταύτῃ τῇ πρακτικῇ ἀρετῇ[1] οὐδεμία διάλυσις γίνε-
» ται, οὐδὲ διάπτωσις[2]. Ὀλίγη δὲ τῆς πρακτικῆς ταύ-
» της ἀρετῆς[3], ἀπὸ μεγάλου κινδύνου τὸν ἄνθρωπον
» διαφυλάττει[4].

41. «Ἐνταῦθα[5] ὁ μὲν βέβαιος καὶ εὔστοχος σκοπὸς εἷς ἐστιν,

τὸ ἄκρον ἀγαθὸν ἀγούσας· διὰ μὲν γὰρ τῆς πρακτικῆς ἀρετῆς ἀναβιβάζεται ἡ ψυχὴ εἰς τὴν θεωρητικήν· διὰ δὲ τῆς θεωρητικῆς ἑνοῦται τῷ Θεῷ, ὅπερ ἐστὶ τὸ εὐκταῖον καὶ ὄντως ἐφετόν. Τὰ δὲ λοιπὰ, λεγόμενα ἐκτὸς τυχηρὰ ἀγαθὰ, οὐδὲν ἡγεῖται, ὡς μὴ συντείνοντα εἰς τὴν κυρίως εὐδαιμονίαν, καθάπερ καὶ οἱ περὶ τὴν Στοὰν φρονοῦσιν. Ὁ δὲ Μιμάνσας, ἕτερος φιλόσοφος, δοξάζει ἀρκοῦσαν μόνην τὴν πρακτικὴν ἀρετήν· δι' αὐτῆς γὰρ ὁ ἄνθρωπος ἀπολαμβάνει τά τε οὐράνια καὶ ἐπίγεια ἀγαθὰ, ὧν ἐφίεται, μὴ οὔσης ἀναγκαίας μήτε τῆς θείας βοηθείας, μήτε τῆς θεωρητικῆς ἀρετῆς. Οὗτος δὲ δοξάζει καὶ τὰ ἐκτὸς καὶ τυχηρὰ ἀγαθὰ, ὡς συντείνοντα εἰς εὐδαιμονίαν, ὡς καὶ ὁ Ἀριστοτέλης. Δοξάζει δ' ἔτι, ὡς ἡ ψυχὴ, ἀφ' οὗ ἐντρυφήσῃ ἐν οὐρανῷ κατὰ τὸ ἀνάλογον τῆς ἧς ἔπραξεν ἀρετῆς ἐν τῷ παρόντι βίῳ, πάλιν κάτεισι καὶ ἐνσωματοῦται ἐν γένει μεγάλῳ καὶ δόξῃ μείζονι, καὶ ὄλβῳ ἀπείρῳ, καὶ μετὰ τὸ ποιῆσαι θυσίας καὶ ἄλλας ἀγαθοεργίας, πάλιν ἄνεισιν εἰς οὐρανὸν, καὶ πάλιν κάτεισι καὶ μετασωματοῦται, καὶ πάλιν καὶ πολλάκις ἡ ἄνοδος καὶ κάθοδος γίνεται οὕτως αἰωνίως, καὶ τοῦτό ἐστι παρ' αὐτῷ τῷ Μιμάνσᾳ τὸ ἄκρον ἐφετὸν, οὗ ἐναντίος ἐστιν ὁ Βεάσας, ὡς μετέπειτα ἔσται μᾶλλον δῆλον.

1. Ἐν ταύτῃ τῇ ᾗ λέγει πρακτικῇ ἀρετῇ, ἧς τέλος ἐστὶν ἡ θεωρητικὴ, αὐτῆς δὲ τῆς θεωρητικῆς ἡ πρὸς τὸν Θεὸν ἕνωσις, οὐδὲν, φησὶν, ἐμποδών τι καὶ διάλυσις γίνεται, ὡς ἐν τῇ παρ' ἄλλων πρακτικῇ ἀρετῇ, ἧς τέλος ἐστὶ τὸ τυχεῖν πλούτου, ἢ εὐτεκνίας, ἢ ἄλλου ἀγαθοῦ, ἢ καὶ αὐτοῦ τοῦ οὐρανοῦ. Ἐν ἐκείνῃ δὲ τῇ παρ' ἄλλων πρακτικῇ ἀρετῇ διάλυσις καὶ ἐμποδὼν γίνεται, ὅτε οὐκ ἔσται τὸ τέλος, δι' ὃ γίνεται, πλούτου δηλ: τυχεῖν, ἢ παιδὸς, ἢ ἄλλου τοιούτου εὐκταίου, ἢ ἐὰν τύχωσι, τὸ μὴ συμπαραμεῖναι, ἀλλ' ἀπωλεσθῆναι, ἀλλ' οὔτε ἄκρον ἀγαθόν ἐστι τὸ τυχεῖν τοῦ οὐρανοῦ, καὶ πάλιν ἐκεῖθεν καταπεσεῖν· διάλυσις γὰρ καὶ ἐμποδών ἐστι τοῦ ἐφετοῦ καὶ τοῦτο. Ὅθεν οὐ κυρίως ἐφετὸν, ὡς μὴ συμπαραμένον τοῦτο, ἀλλὰ καὶ ἑνωθῆναι τῷ Θεῷ, καὶ ἐν ἐκείνῳ συνεῖναι.

2. Οὔτ' ἐμποδών τι. (Πρ. Γρ.)

3. Ἧς τέλος ἐστιν ἡ θεωρητική.

4. Οὐ μεταγεννᾶται δηλ. ἀλλ' ἑνοῦται τῷ Θεῷ.

5. Ἐν ταύνῃ τῇ πρακτικῇ ἀρετῇ, ὁ μὲν σκοπὸς τῶν ἐκ τῆς πράξεως εἰς θεωρίαν ἀναβιβασθέντων καὶ ἓν ἐφετὸν ἄκρον τιθεμένων, τὴν εἰς τὸ θεῖον ἕνωσιν, βέβαιος καὶ εὔστοχός ἐστι, καθὸ εἷς τε καὶ μονομερής· ὁ δὲ τῶν τὴν πρακτικὴν μόνην στεργόντων, καὶ δι' αὐτῆς αἱρουμένων τὰ τῆς γῆς ἀγαθὰ, καὶ ἄκρον ἐφε-

» ὁ δ' ἀβέβαιός τε καὶ ἄστοχος, πολύκλαδός τε καὶ ἐπ'
» ἄπειρον.

42. «Οἱ ἄσοφοι προτείνουσι τοῦτο τὸ ἀνθηρὸν ῥητὸν [1], ὅτι
» οὐκ ἄλλο τι τελεία ἀρετή, ἀλλ' ἢ ἡ πρᾶξις μόνη, ἐν-
» νοοῦντες τὸ ῥητὸν τῆς Βέδας κατὰ τὴν οἰκείαν βού-
» λησιν.

43. «Οὗτοι οἱ φιλήδονοι [2], οἱ ἄκρον ἀγαθὸν νομίζοντες τὸν οὐ-
» ρανὸν [3], προτείνουσι τὸ περὶ γεννήσεως ῥητὸν τῆς Βέ-
» δας, τὸ ἔχον πολλὰ εἴδη ἱεροπραξιῶν καὶ θυσιῶν, εἰς

τὸν οἰομένων τὴν τοῦ οὐρανοῦ ἀπόλαυσιν, ἀβέβαιος καὶ ἄστοχός ἐστι, καθὸ πολυμερής τε καὶ ἄπειρος. Ὁ Βεάσας οὐ δοξάζει ἄκρον ἐφετὸν καὶ χαρὰν ἀνείκουστον τὴν τοῦ οὐρανοῦ ἀπόλαυσιν· πρῶτον μέν, ἐπειδὴ κἀκεῖ τάξεις εἰσὶ καὶ μοναὶ πολλαί, κατὰ τὸ μέτρον τῆς ἀρετῆς ἑκάστου· ὅθεν ὁ κατώτερος, βλέπων τὸν ἀνώτερον, φθονεῖ πως καὶ λυπεῖται· δεύτερον δέ, ἐπειδὴ πάλιν ἐκεῖθεν καταπίπτουσιν αἱ ψυχαὶ καὶ ἐνσωματοῦνται. Ἄκρον δὲ ἐφετὸν δοξάζει τὴν ἐκ τῆς θεωρίας πρὸς τὸ Θεῖον ἕνωσιν, ἐξ ἧς οὐδέποτε καταπίπτει, ὡς καὶ ἀνωτέρω εἰρήκαμεν.

1. Ἐπειδὴ ὁ Βεάσας ἐνταῦθα πρὸς εἰδότας λέγει, διὰ τοῦτο ἀσαφῆ πως εἰσὶ τὰ γεγραμμένα· διασαφήσωμεν οὖν ἡμεῖς ταῦτα· Ἔστιν ἓν ῥητὸν τῆς Βέδας, τὸ λέγον· « ἡμεῖς ἐπίαμεν πόμα (ὅπερ ἐστὶ πόμα ἐκ βοτάνης, ἐθιζόμενον ἐν θυσίᾳ) » καὶ ἐγενόμεθα ἀθάνατοι. » Ὁ τοίνυν Βεάσας καθάπτεται τῶν περὶ τὸν Ζαϊμινήν, τῶν ἐξηγούντων κατὰ λέξιν, ἀλλὰ μὴ ἀλληγορικῶς τὸ ῥητὸν τοῦτο, ὅπερ ἐστὶν ὡσπερεὶ ἄνθος ἡδὺ μὲν τῇ ὁράσει, δυσῶδες δὲ καὶ ἄχαρι τῇ ὀσφρήσει, καὶ φαρμακῶδες.

2. Οἱ φρονοῦντες, ὅτι ἄκρον ἀγαθὸν ὁ οὐρανός ἐστι προτείνουσιν, ὡς φιλήδονοι καὶ ἄλλο ῥητὸν τῆς Βέδας, ὅπερ διαλαμβάνει, ὅτι διὰ τῆς πρακτικῆς ἀρετῆς ἀπολαμβάνει ὁ ἄνθρωπος τὸν οὐρανόν, καὶ ἀφ' οὗ μετασωματωθῇ, πάλιν χρῆται τῇ πρακτικῇ ἀρετῇ, καὶ πάλιν εἰς οὐρανὸν ἀνέρχεται, καὶ ἄλλα πρὸς τούτοις ῥητὰ προτείνουσι περὶ θυσιῶν καὶ ἡδονῶν, καὶ ἀπολαύσεων ἐν τούτῳ τῷ βίῳ· οὗτοι ὅμως σφάλλουσι τοῦ ὀρθοῦ, μὴ στοχαζόμενοι τοῦ κυρίως σκοποῦ, ὅς ἐστιν ἡ θεωρία, διὰ δὲ τῆς θεωρίας ἡ πρὸς τὸν Θεὸν ἕνωσις.

3. «Οὗτοι οἱ φιλήδονοι, οἱ σκοπὸν ἔχοντες τὸν οὐρανὸν (οἱ μηδὲν πέραν τοῦ οὐ-
» ρανοῦ φρονοῦντες), προτείνουσι τὸ ῥητὸν τῆς Βέδας, τὸ περὶ γεννήσεως καὶ
» πράξεως καὶ οὐρανοῦ, καὶ τὸ διαλαβάνον πολλὰ εἴδη ἱεροπραξιῶν καὶ θυσιῶν,
» εἰς ἀπόλαυσιν ἡδονῆς καὶ δόξης. » (Πρ. Γρ.)

» ἀπόλαυσιν δόξης, τρυφῶν καὶ ἡδονῶν, καὶ παρέχον γέννησιν καὶ βιωτικὰς μερίμνας, καὶ καρπὸν τῶν ἀγαθῶν [1].

44. «Ὁ δὲ νοῦς αὐτῶν τῶν προσηλωμένων τῇ ἡδονῇ καὶ τῇ » δόξῃ, ὡς σεσυλημένων τὴν καρδίαν ὑπ' ἐκείνου τοῦ ἀνθηροῦ ῥητοῦ, οὐκ ἀφορᾷ βεβαίως εἰς τὸν κυρίως σκοπόν, » εἰς τὴν θεωρίαν.

45. «Τῶν δὲ Βεδῶν διαλαμβανουσῶν περὶ τῶν τριῶν τοῦ κόσμου παθῶν [2], σὺ οὖν μὴ ἔσο φιλήδονος [3], ὢν ἀδιάφορος » ἐν κακοῖς καὶ ἀγαθοῖς [4], ἀεὶ καρτερικός, ἀπράγμων καὶ » ἐγκρατής [5].

46. «Καθὼς γὰρ οὐ καθόλου καὶ ἐντελῆ γίνονται τὰ πρὸς τὴν » χρείαν, ἐν ὕδατι ὀλίγῳ, ὅσον ἐν ἀφθόνῳ [6], οὕτω δὴ οὐ » καθόλου καὶ ἐντελῆ γίνονται τὰ ἀγαθὰ τῷ ποιοῦντι » ἀτελῶς τὰ τῆς Βέδας [7], ὅσον τῷ φρονοῦντι τὰ θεῖα [8].

---

1. Ἕτερον ῥητὸν τῆς Βέδας· « ἡ ἀρετὴ τῶν θυόντων ἐν τῇ τετραμήνῳ ἄφθαρτος καὶ ἀΐδιός ἐστιν » (Chaturma seam) « ὄνομα θυσίας, τελουμένης ἐν τέσ» σαρσι μησί. »

2. Θυμοῦ, ἐπιθυμίας, καὶ τρυφῆς· οἷον διὰ μὲν ταύτης τῆς θυσίας ἀπολαύσεις πλούτου, διὰ δὲ ἐκείνης γεννήσεις υἱὸν, διὰ δὲ τῆς ὁδεῖνα θανατώσεις ἐχθρόν.

3. Σὺ οὖν γενοῦ ἔξω τῶν δύω φύσει ἐναντίων (ἀπαθὴς δηλ.). (Δ. γρ.)

4. Ἐν χαρᾷ καὶ λύπῃ, δηλ. μήτε ἐπὶ τοῖς ἀγαθοῖς χαῖρε, μήτε ἐπὶ τοῖς κακοῖς λυποῦ.

5. Νήφων, νηφάλιος (Δ. Γρ.).

6. Ἐν πολυχεύμονι πηγῇ (Δ. Γρ.).

7. Ὅσαι ἡδοναὶ ἀτελῶς καὶ κατὰ μέρος γίνονται τῷ ἀνθρώπῳ, διότι ἐγέννησεν υἱὸν, ἢ διότι ἔτυχε δόξης, ἢ πλούτου, ἢ διότι ἐθανατώθη ὁ ἐχθρὸς αὐτοῦ, αὗται γίνονται καθόλου καὶ ἐντελῶς τῷ ἀναβιβάσαντι τὸν νοῦν αὐτοῦ εἰς θεωρίαν καὶ ἑνωθέντι τῷ Θεῷ· τουτέστι οὐδέν ἐστι ταῦτα τἀγαθὰ πρὸς τὰ τοῦ θεόφρονος.

8. Τὸ 46 δίστιχ. ἔχει καὶ τὴν ἑξῆς γραφὴν ἐν τῷ χειρογράφῳ. « Καθὼς γὰρ » ὅσα τῶν πρὸς τὴν χρείαν ἀνὰ μέρος τε καὶ δυσκόλως γίνονται ἐν ὕδατι ὀλίγῳ, » ταῦτα συνόλως καὶ ἐντελῶς ἐν πηγῇ πολυύδρῳ, οὕτω δὴ καὶ ὅσα τῶν ἀγαθῶν » ἀνὰ μέρος καὶ δυσκόλως ἐπισυμβαίνει, ἐξ ὧν ἡ Βέδα διορίζει πολυειδῆ ἔργα, » ταῦτα καθόλου ἐπακολουθεῖ τῷ θεόφρονι. » — Ἵνα μὴ εἴπῃ ἢ τὰ τοῦ οὐρανοῦ

47. «Πρόσκεισο μὲν οὖν τοῖς ἔργοις, μηδέποτε ὅμως τοῖς » καρποῖς αὐτῶν· δηλονότι μὴ ἔστω σοι καρποῦ τινος » αἴτιον τὸ ἔργον, μηδὲ μὴν ἔσο ἀμελὴς αὐτῶν.

48. «Ποίει δ' ἔργα, ἀναβιβάζων τὸν σαυτοῦ νοῦν εἰς τὸν Θεὸν[1], » ἀπολιμπάνων τὴν οἴησιν καὶ ὁ αὐτὸς ὢν ἐπί τε τῇ ἐπιτυ- » χίᾳ ἢ ἀποτυχίᾳ· ἡ γὰρ ταυτότης[2] θεοφροσύνη λέγεται.

49. «Πᾶσα δὲ πρᾶξις, ἡ μὴ ἔχουσα τέλος τὴν θεωρίαν, εὐτε- » λής ἐστι· ποίει οὖν ἔργα ἐπὶ σκοπῷ τῆς θεωρίας[3]· οἱ » γὰρ ἀγαπῶντες τὸν καρπὸν τῶν πράξεων μικροπρε- » πεῖς εἰσιν.

50. «Ὁ γὰρ θεόφρων ἀπαλλάττεται ἀμφοτέρων τῶν ἔργων, » τῶν τε ἀγαθῶν καὶ τῶν φαύλων[4]. Πρόσκεισο οὖν τῇ » θεωρίᾳ· καὶ γὰρ ἡ θεωρία κρείττων ἐστὶ τῆς πράξεως » τῶν ἔργων τῆς ἀρετῆς.

51. «Οἱ γὰρ σοφοὶ θεωρητικοί, καταφρονήσαντες, ὡς σοφοί, » τοῦ ἐκ τῶν ἔργων καρποῦ[5], καὶ ἀπαλλαγέντες τοῦ » δεσμοῦ τῆς γεννήσεως[6] τοῦ σώματος, εἰς ἀπαθῆ[7] τό- » πον ἔρχονται.

52. «Ὅταν δὲ ὁ νοῦς σου ὑπεραναστῇ τοῦ τῆς σαρκὸς φρονή-

ἀγαθὰ καὶ τὰ ἐνταῦθα οὐκ εἰσὶν ἀγαθὰ μεγάλα, διὰ τί ἡ Βέδα προστάττει ποιεῖν ἔργα, ὧν καρπός ἐστιν ἐκεῖνα τὰ ἀγαθά; διὰ τοῦτο ἐπάγει τοῦτο, « ἡ Βέδα διαλαμβάνει τοιαῦτα πολυειδῆ ἔργα. »

1. «Ἀναπέμπων ταῦτα εἰς Θεόν,» (Δ. γρ.) ὅτι ἐγὼ ταῦτα οὐκ ἐποίησα, ἀλλὰ βοηθοῦντος τοῦ Θεοῦ.

2. Τὸ τέλος δι' ὃ ποιεῖς τὴν πρακτικὴν ἀρετὴν ἐστὶν ἡ θεωρία.

3. Μένε δηλ. ἐν τῇ θεωρίᾳ, πρόσκεισο τῇ θεωρίᾳ.

4. Μὴ ποιῶν δηλονότι ἔργα καλὰ ἢ κακά, οὔτε τὸν τῶν καλῶν ἔργων καρπὸν ἀπολαμβάνει, ὅς ἐστιν ὁ οὐρανός, οὔτε τὸν τῶν κακῶν, ὅς ἐστὶν ὁ ᾅδης, ἀλλ' ἑνοῦται τῷ Θεῷ, ὡς θεωρῶν αὐτόν.

5. Τῆς ἐκ τῶν ἔργων ἀπολαύσεως. (Δ. γρ.)

6. «Λελυμένοι τοῦ δεσμοῦ τῆς γεννήσεως» (Δ. γρ.) ἔνθεν οὐκ ἔστιν ἐπανελθεῖν εἰς τοῦτον τὸν βίον· πορεύονται εἰς τὴν ἀθανασίαν, δηλ. ἑνοῦνται τῷ Θεῷ. (Πρ. γρ.)

7. Ἄνοσον τόπον. (Δ. γρ.)

» ματος, τότε ἀποστροφὴν ποιήσεις ὧν ἤκουσας λογίων » τῆς Βέδας περὶ καρποῦ τῶν ἔργων [1].

53. «Ὅταν δ' ὁ περιπλαγχθεὶς νοῦς ὑπὸ τῶν τῆς Βέδας λο- » γίων [2], στῇ ἀκίνητος, ἐν τῷ Θεῷ μόνῳ ἀφορῶν, τότε » ἀπολαύσεις τῆς θεοφροσύνης. »

ΑΡΖΟΥΝΑΣ.

54. «Εἰπέ μοι, ὦ Κρισνᾶ, τίνι γνωρίσματι γνωρίζεται ὁ θεό- » φρων καὶ στερεόφρων; τί οὗτος λαλεῖ; ἢ πῶς διάγει;[3] »

ΚΡΙΣΝΑΣ.

55. «Ὅςτις τὰς μὲν τῆς καρδίας ὀρέξεις πάσας ἀποβάλλει [4], » οἴκοθεν δ' ἐφήδεται μόνῳ τῷ Θεῷ, οὗτος λέγεται θεό- » φρων [5].

56. «Ὃς τοῖς μὲν δυστυχήμασιν οὐ δυσθυμεῖ, τοῖς δ' εὐτυχή- » μασιν οὐκ εὐθυμεῖ, πόῤῥω δ' ἐστὶν ἐπιθυμίας [6], καὶ » φόβου καὶ θυμοῦ, οὗτος λέγεται θεόφρων [7].

57. «Ὅστις δ' ἀνέραστος ὤν, οὐδενὶ τῶν ἁπάντων [8] πρόσκει- » ται [9], καὶ ὧν μὲν ἔτυχεν ἀγαθῶν οὐκ ἐπαινεῖ, ὧν δὲ » κακῶν οὐ κατηγορεῖ, τούτῳ ἐστὶ θεοφροσύνη [10].

---

1. «Τότε ἀπράγμων καὶ ἄφροντις ἔσῃ τῶν ἡδέως τῇ ἀκοῇ λογίων τῆς Βέ- » δας, » (Δ. γρ.) εὐτεκνίας δηλ. καὶ πλούτου, καὶ δόξης, καὶ οὐρανοῦ, καὶ τῶν λοιπῶν.

2. Τουτέστι δι' ὧν λέγει λογίων, ὅτι ταῦτα μὲν ποιήσας ἀπολαύσεις τούτου τοῦ ἀγαθοῦ, ἐκεῖνα δὲ, ἐκείνου.

3. Διάκειται. (Δ. γρ.)

4. Ἀποστρέφεται. (Δ. γρ.)

5. Τοῦτό ἐστι τὸ γνώρισμα τοῦ θεόφρονος.

6. Κρείττων δ' ὢν ἐπιθυμίας, ἀμέτοχος δ' ὢν ἐπιθυμίας. (Δ. γρ.)

7. Τοῦτό ἐστι τὸ γνώρισμα τοῦ θεόφρονος (θεωρητικοῦ).

8. Οὔτε υἱοῖς, οὔτε γυναικὶ, οὔτε φίλοις, οὔτε ἄλλῳ τινι τῶν τοῦ κόσμου.

9. Ἔγκειται, προσφύεται. (Δ. γρ.)

10. Τοῦτο εἰς ἀπόκρισιν τοῦ, τί οὗτος λαλεῖ;

58. «Ὅστις δὲ συστέλλων ἕλκει τὰς ἑαυτοῦ αἰσθήσεις ἀπὸ » τῶν αἰσθητῶν παντάπασι, καθάπερ ἡ χελώνη τὰ ἑαυτῆς » μέλη, τούτῳ ἐστὶ θεοφροσύνη [1].

59. «Τοῦ μὲν ἀσίτου [2], εἰ καὶ τὰ σιτία πόῤῥω ἐστὶ [3], συμμέ- » νει δ' ὅμως ἡ ἐπιθυμία· τοῦ δὲ θεόφρονος καὶ ἡ ἐπιθυ- » μία ἄρδην ἀπώλετο, ἐπειδὴ θεωρεῖ τὸν Θεόν.

60. «Αἱ αἰσθήσεις, συστρέφουσαι καὶ ταράττουσαι τὴν καρδίαν » καὶ τοῦ θεωρητικοῦ ἀνδρὸς [4], συλοῦσιν αὐτὴν βιαίως.

61. «Τούτου ἕνεκεν, ὑποτάξας τὰς αἰσθήσεις πάσας ὁ θεωρη- » τικὸς, διαμένει ἀφορῶν ἀεὶ εἰς ἐμέ [5]· ᾧ τινι δὲ αἱ αἰσθή- » σεις ὑποτεταγμέναι εἰσὶ, τούτῳ ἐστὶ θεοφροσύνη.

62. «Ὁ δὲ διαλογιζόμενος τὰ ὑπὸ τὴν αἴσθησιν, σύνεστιν ἐκεί- » νοις· ἐκ δὲ τῆς συνουσίας τῆς περὶ τὰ αἰσθητὰ γεννᾶται » ἡ ἐπιθυμία· ἐκ δὲ τῆς ἐπιθυμίας ὁ θυμός [6].

63. «Ἐκ δὲ τοῦ θυμοῦ ἡ ἄγνοια (ἀδιακρισία) [7]· ἐκ δὲ τῆς » ἀγνοίας, ἡ λήθη τῶν θείων λογίων τῆς Βέδας· ἐκ δὲ » τῆς λήθης τούτων, ἡ ἀφροσύνη· ἐκ δὲ τῆς ἀφροσύνης, ὁ » ἄνθρωπος ἀπόλλυται.

64. «Καίτοι δὲ ὁ θεόφρων καὶ κύριος ὢν ἑαυτοῦ ἀπολαμβάνει » τὰ ὑπὸ τὴν αἴσθησιν διὰ τῶν αἰσθήσεων, διάγει δ' ὅμως » γαληνιαῖος καὶ ἀπαθὴς [8], ἐπειδὴ αἱ αἰσθήσεις ὑποκεί- » μεναι εἰσί.

---

1. Τοῦτο εἰς ἀπόκρισιν τοῦ, πῶς διάγει ἢ διάκειται;

2. Τουτέστι τοῦ προσπεινου, διὰ τὸ ἐστερεῖσθαι σιτίων.

3. Εἰ καὶ τὰ σιτία ὑπὸ τὴν αἴσθησίν εἰσι (Πρ. γρ.).

4. Τοῦ διακριτικοῦ καὶ σοφοῦ ἀνδρὸς, τοῦ ποιοῦντος τρόπους εἰς ἀναβίβασιν τοῦ νοὸς αὐτοῦ εἰς τὸν Θεόν.

5. Αὕτη ἐστὶν ἡ ἀπόκρισις τοῦ, πῶς διαμένει;

6. Τότε ἐπιγίνεται ὁ θυμὸς, ὅτε ἀποτυγχάνει οὗ ἐπιθυμεῖ ὁ ἄνθρωπος.

7. Ἄγνοια τοῦ ὀρθοῦ καὶ τοῦ μὴ ὀρθοῦ.

8. Οὔτε ἥδεται ἐφ' οἷς ἡδέσι βλέπει, ἢ ἀκούει, ἢ ὀσφραίνεται, ἢ γεύεται, οὔτε ἐπὶ τοῖς ἀηδέσι δυσχεραίνει.

65. «Γαλήνης δὲ οὔσης καὶ ἀπαθείας[1], ἅπασαι αἱ ὀδύναι ἐξίτηλοι γίνονται· τοῦ γὰρ γαληνιαίου καὶ ἀπαθοῦς ἡ διάνοια στερεά ἐστι καὶ εὐσταθής[2].

66. «Τῷ δὲ μὴ ὑποτάξαντι τὰς αἰσθήσεις, οὔτε κρίσις[3] ἐστιν, οὔτε θεωρία καὶ σκέψις[4]· ὁ δὲ ἄσκεπτος ἐμπαθής[5]· τῷ δὲ ἐμπαθεῖ ποῦ ἄνεσις;

67. «Τῶν γὰρ ἀνυποτάκτων αἰσθήσεων πλανωμένων τῇ δε κἀκεῖσε, ᾗ τινι ἐξ αὐτῶν συμπαρομαρτεῖ[6] ἡ διάνοια, αὕτη συλεῖ καὶ περιφέρει τὸν νοῦν τοῦ ἀνθρώπου, καθὼς ὁ ἄνεμος ἐν ὠκεανῷ τὴν ναῦν, ἀσκέπτου ὄντος τοῦ κυβερνήτου.

68. «Ὅθεν οὗ τινος αἱ αἰσθήσεις ἀπειργμέναι εἰσὶ τῶν αἰσθητῶν παντάπασιν, τούτῳ κρίσις ἐστὶ καὶ σκέψις.

69. «Καὶ ὅ,τι μὲν νὺξ ἐστι[7] παρὰ πᾶσι τοῖς ἀνθρώποις, τοῦθ' ἡμέρα ἐστὶ παρὰ τῷ θεωρητικῷ[8]· ὅ,τι δ' ἡμέρα ἐστὶ παρὰ τοῖς ἄλλοις, τοῦτο νὺξ παρὰ τῷ θεωρητικῷ καὶ θεόφρονι.

70. «Ὥς περ γὰρ ἡ θάλασσα οὐχ ὑπερπηδᾷ τὰ ὅρια ἑαυτῆς, καί τοι ποταμοὶ εἰσβάλλουσιν εἰς αὐτὴν, πλήρη οὖσαν, οὕτω, πάντων τῶν ὑπὸ τὴν αἴσθησιν προσβαλλόντων τῷ θεωρητικῷ, ἀπαθὴς μένει, ὡς μὴ προσηλωμένος αὐτοῖς· οὐχὶ δὲ καὶ ὁ φιλήδονος.

---

1. Ἐν δὲ τῇ γαλήνῃ κ.τ.λ. (Πρ. Γρ.).
2. Οὐ περισπᾶται δηλ. τῇδε κἀκεῖσε.
3. Τοῦ γινώσκειν ἑαυτόν.
4. Οὔτε θεωρία γίνεται οὔτε σκέψις (Πρ. Γρ.).
5. Ἀνήσυχος (Πρ. Γρ.).
6. Συνακολουθεῖ (Πρ. Γρ.).
7. Ὅ,τι μὲν περὶ Θεοῦ οἱονεὶ σκότος ἐστὶ καὶ δυσθεώρητον παρὰ τοῖς ἄλλοις, τοῦτο φῶς ἐστι καὶ εὐθεώρητον παρὰ τῷ θεωρητικῷ· ὅ,τι δὲ τῶν τοῦ κόσμου οἱονεὶ φῶς ἐστι καὶ εὐθεώρητον παρὰ τοῖς ἄλλοις, τοῦτο σκότος ἐστὶ καὶ δυσθεώρητον παρὰ τῷ θεωρητικῷ.
8. Θεόφρονι (Πρ. Γρ.).

71. «Ἀπαθὴς ἄρα ἐστὶν, ὃς καταφρονῶν τῶν ὑπὸ τὴν αἴσθη-
» σιν παρόντων, διάγει ἄνευ ἐπιθυμίας καὶ τῶν ἀπόν-
» των, καὶ ἄνευ φιλαυτίας καὶ οἰήσεως [1].

72. «Τοιαύτη πέφυκεν [2] ἡ πρὸς τὸν Θεὸν θεωρία, ἧς γε
» ἀπολαύσας, εἰς τὸν ἐμπαθῆ τοῦτον κόσμον οὐκέτι ἔρ-
» χεται ὁ ἄνθρωπος· κἂν τῇ ὥρᾳ δὲ τοῦ θανάτου, μείνας
» τις ἐν ταύτῃ τῇ θεωρητικῇ στάσει, πρὸς τὸν ἀπαθῆ πο-
» ρεύεται Θεόν [3]. »

ΚΕΦΑΛΑΙΟΝ Γ'.

ΑΡΖΟΥΝΑΣ.

1 «Εἰ ἡ θεωρία κρείττων ἐστὶ τῆς πράξεως, κατὰ τὴν σὴν
» γνώμην [4], διὰ τί με παροτρύνεις [5] εἰς πρᾶξιν φοβερὰν
» καὶ στυγεράν [6];

2 «Διὰ γὰρ τοῦ διττοῦ καὶ ἀμφιβόλου τούτου λόγου [7],
» ἐσκότισας, ὡς εἰπεῖν, τὸν νοῦν μου· διὸ δὴ ἕνα μόνον
» λόγον εἰπέ μοι ἁπλῶς τε καὶ σαφῶς, [8] δι' οὗ τῆς ἀθα-
» νασίας [9] τύχοιμι ἄν. »

---

1. Ὃς καὶ ὧν ἔχει καταφρονεῖ, καὶ ὧν οὐκ ἔχει οὐκ ἐπιθυμεῖ. (Πρ. Γρ.)

2. «Αὕτη ἐστὶν ἡ πρὸς τὸν Θεὸν θεωρία, ἧς γε ἀπολαύσας ἐμπαθὴς οὐ γίνε-
» ται ὁ ἄνθρωπος· κἂν τῇ ὥρᾳ δὲ τοῦ θανάτου μείνας τις ἐν ταύτῃ τῇ θεω-
» ρίᾳ κτλ. » (Πρ. Γρ.)

3. Οἱονεὶ ἔλεγεν· εἰ κἂν ἐν ὥρᾳ τοῦ θανάτου δι' ὀλίγου χρόνου μείνας τις ἐν ταύτῃ τῇ θεωρίᾳ, πρὸς τὸν ἀπαθῆ πορεύεται Θεὸν, πόσῳ μᾶλλον ὁ συζῶν αὐτῇ διὰ παντὸς τοῦ βίου;

4. Ἐπειδὴ ὁ Κρισνᾶς ἐποίησεν ἔπαινον καὶ προτίμησιν τῆς θεωρίας, διὰ τοῦτο ὁ Ἀρζούνας ἐρωτᾷ ἐπαπορῶν.

5. Παρακινεῖς, κελεύεις. (Δ. Γρ.)

6. Εἰς πόλεμον δηλ. καὶ φόνον ἀνθρώπων.

7. Ποτὲ μὲν ἐπαινῶν τὴν πρακτικὴν ἀρετὴν, ποτὲ δὲ τὴν θεωρητικήν.

8. Εἰπέ μοι δηλ. ποτέρα τῶν ἀρετῶν ἀρίστη ἐστί.

9. Ἀγαθοῦ. (Δ. Γρ.)

ΚΡΙΣΝΑΣ.

3 «Διττή ἐστιν ἡ ὁδὸς ἐν τούτῳ τῷ βίῳ, ἡ ὑπ' ἐμοῦ προει-» ρημένη, τοῖς μὲν τελείοις θεωρητικοῖς τὸ θεωρεῖν τὰ » τοῦ Θεοῦ [1], τοῖς δὲ πρακτικοῖς, τοῖς ἀναβησομένοις εἰς » θεωρίαν, τὸ πράττειν τὰ τοῦ νόμου.

4 «Χωρὶς γὰρ τῆς καταβολῆς τῶν πράξεων οὐκ ἂν τύχοι ὁ » ἄνθρωπος τῆς θεωρίας [2], οὐδὲ μὴν τῆς ἀθανασίας, ἄνευ » τῆς θεωρίας.

5 «Οὐδείς γέ τοι οὐδέποτε ἵσταται ἀργὸς οὐδ' ἐν μιᾷ στιγ-» μῇ· πᾶς δέ τις διὰ τῆς φυσικῆς ἑαυτοῦ διαθέσεως [3], ἐξ » ἀνάγκης [4] αἴτιος γίνεται ἤτοι ἐσθλοῦ ἢ φαύλου ἔργου.

6 «Ὅς τις μὲν οὖν ὑποτάξας τὰ ὄργανα [5] τῆς ἐνεργείας, δια-» τελεῖ ἀναπλαττόμενος ἐν τῇ διανοίᾳ [6] τὰ ὑπὸ τὴν » αἴσθησιν, οὗτος λέγεται μωρόφρων καὶ ὑποκριτής.

7 «Ὅς τις δ' ὑποτάξας τὰς αἰσθήσεις καὶ τὴν διάνοιαν [7] » μετέρχεται τὴν πρακτικὴν ἀρετὴν διὰ τῶν ὀργάνων τῆς » ἐνεργείας [8], μὴ ἀφορῶν εἰς καρπόν, οὗτός ἐστιν ὁ ἄρι-» στος καὶ ἐξαίρετος.

8 «Ἐργάζου τὰ ἀναγκαῖα ἔργα [9]· τὸ γὰρ ἐργάζεσθαι κρεῖτ-

---

1. Τὸ φρονεῖν θεῖα. (Δ. Γρ.)

2. Ἐνταῦθα καθάπτεται τοῦ Καπέλα, ὃς δοξάζει θεωρίαν μόνην, οὐχὶ δὲ πρᾶξιν.

3. Τοῦ λογικοῦ, τοῦ ἐπιθυμητικοῦ καὶ τοῦ θυμικοῦ μέρους τῆς ψυχῆς.

4. Ἀναγκαίως, βιαίως. (Δ. Γρ.)

5. Οἱ Ἰνδοὶ λέγουσι καὶ ἄλλας πέντε ἐνεργητικὰς αἰσθήσεις: τὴν γλῶσσαν, τὴν χεῖρα, τὸν πόδα, τὰ γεννητικὰ μόρια, καὶ τὸν πρωκτόν.

6. Ἐν τῷ λογισμῷ (Δ. Γρ.).

7. Τὸν λογισμόν (Δ. Γρ.).

8. Διὰ μὲν τῆς χειρὸς τὸ λειτουργεῖν καὶ ἔλεος διδόναι, διὰ δὲ τῆς γλώττης τὸ ὑμνεῖν.

9. Πᾶν ἔργον θεῖον, δηλ. τὸ εὔχεσθαι, λούεσθαι κτλ.

» τόν ἐστι τοῦ μὴ ἐργάζεσθαι [1]· μάλιστα δὲ οὐδὲ τὸ
» σῶμά σου δύναται ζῆν ἐν ἀργίᾳ [2].
9 «Ἐκτὸς δὲ τοῦ διὰ τὸν Θεὸν [3] γινομένου, πᾶν ἄλλο τι ἔρ-
» γον δεσμός ἐστι [4] τοῦ ἀνθρώπου· διὰ τὸν θεὸν οὖν
» πράττε πᾶν, μηδενὸς ἄλλου ἀγαθοῦ ἐφιέμενος, καὶ μη-
» δαμῶς εἰς ἄλλο τι ἀφορῶν.
10 «Ὁ ποιητὴς Βραχμᾶς [5], ποιήσας ἐν ἀρχῇ τῆς κοσμογο-
» νίας τὸ πᾶν καὶ τοὺς ἀνθρώπους, ἅμα τῇ θυσίᾳ [6] εἶπε
» τὸ, «διὰ ταύτης τῆς θυσίας αὐξάνεσθε καὶ πληθύνεσθε·
» ἔστω δ' αὕτη ἡμῶν ἡ Καμαδδούγκα [7]. »
11 «Διὰ ταύτης τῆς θυσίας ὑμεῖς μὲν τρέφετε καὶ θερα-
» πεύετε τοὺς θεοὺς, οἱ δὲ θεοὶ τρεφέτωσαν καὶ θερα-
» πευέτωσαν ὑμᾶς [8]. Θεραπεύετε τοιγαροῦν ἀλλήλους,
» καὶ τεύξεσθε οὗ ἐφίεσθε [9].
12 «Οἱ γὰρ Θεοὶ θεραπευόμενοι διὰ τῶν θυσιῶν, δώσουσιν
» ἡμῖν [10] τὰ ἐφετὰ ἀγαθά. Ὅς τις μέντοι γ' ἐντρυφᾷ τοῖς
» παρὰ τῶν Θεῶν δοθεῖσι, μὴ μεταδιδοὺς καὶ αὐτοῖς,
» οὗτος κλέπτης ἐστίν [11].

---

1. Ἐνταῦθα λέγει ἐναντίον τοῦ δόγματος τοῦ Καπίλα, ὃς θεωρίαν μόνον δοξάζει καὶ οὐχὶ πρᾶξιν.

2. Δηλ. οὐ τεύξαις ἂν τῶν πρὸς τὸ ζῆν.

3. Ἐπὶ τῷ θείῳ. (Πρ. γρ.)

4. Ὁ γὰρ τοῖς ἔργοις οἱονεὶ δεσμῷ δεσμούμενος, συστρέφεται ἐν τούτῳ τῷ βίῳ· ἀποθνήσκων γὰρ πάλιν μετασωματοῦται ἐν διαφόροις εἴδεσι ζώων, καὶ πάλιν καὶ πολλάκις οὕτως.

5. Ἐκεῖνος γὰρ ἔπλασε τὸν ἄνθρωπον καὶ τὴν Βέδαν ἔγραψεν, ἐν ᾗ ἐστιν ὁ τρόπος τῆς ἐκτελέσεως τῆς θυσίας.

6. Ἅμα τοῖς τῇ θυσίᾳ προσήκουσι.

7. Ἡ πάνδωρος δάμαλις.

8. Ὑμεῖς μὲν τοὺς θεοὺς διὰ τῆς θυσίας· οἱ δὲ θεοὶ ἡμᾶς διὰ τῆς βροχῆς καὶ ἄλλων ἀγαθῶν.

9. Καὶ εὑρήσετε τὸ ἄκρον ἀγαθόν (Δ. Γρ.).

10. Διὰ τῆς βροχῆς.

11. Γνωρίζεται (Δ. Γρ).

13 «Ὁ γευόμενος τῶν λειψάνων τῆς ἐν οἴκῳ καθ' ἑκάστην
» θυσίας, ἀπασῶν τῶν ἁμαρτιῶν [1] ἀπαλλάττεται· ὅσοι
» δὲ ἕψουσι σιτία ἑαυτῶν χάριν, οὗτοι παράνομοι ὄντες
» σιτοῦνται ἁμαρτήματα [2].

14 «Τὰ μὲν ἔμψυχα συνίσταται ἐκ τῶν καρπῶν [3]· οἱ δὲ καρ-
» ποὶ ἐκ τοῦ ὄμβρου, ὁ δ' ὄμβρος ἐκ τῆς θυσίας, ἡ δὲ θυ-
» σία ἐκ τῆς πράξεως [4].

15 «Τὴν δὲ πρᾶξιν ἴσθι γεγονυῖαν ἐκ τῆς Βέδας [5]· τὴν δὲ
» Βέδαν ἐκ τοῦ Θεοῦ· τὸν δὲ πανταχοῦ παρόντα Θεὸν
» ἐπίτευκτον γινόμενον ἐκ τῆς θυσίας.

16 «Ὅςτις μὲν οὖν οὐ συνεργεῖ [6] εἰς τοῦτον τὸν συνιστάμενον
» καὶ φαινόμενον κύκλον, ἐν ἁμαρτίαις οὗτος ζῇ [7], κἂν
» τοῖς ὑπὸ τὴν αἴσθησιν οὗτος ἥδεται [8] καὶ εἰς μάτην
» οὗτος ζῇ.

---

1. Πέντε εἰσὶ τὰ ὄργανα τῶν θανασίμων ἁμαρτημάτων, δι' ὧν ζωΰφιά τινα θανατοῦνται· ὁ ὅλμος, ἐν ᾧ πτύσσοντες καθαίρουσιν ὄρυζαν· ὁ χειρόμυλος· ἡ ἑστία, ἐν ᾗ ἅπτουσι πῦρ· ἡ ὑδρία, καὶ τὸ σάρωθρον· πολλὰ γὰρ ζωΰφια ἐν τούτοις θνήσκουσιν· ὁ οὖν ποιῶν θυσίας ἀπαλλάττεται τούτων τῶν ἁμαρτημάτων, διὰ τῆς μεθέξεως τῶν λειψάνων αὐτῶν.

2. Δεῖ γὰρ μέρος τῶν ἑψομένων σιτίων ἀποδιδόναι τοῖς θεοῖς πρῶτον, ἔπειτα δὲ κἀκείνους ἐσθίειν· εἰ δὲ μή, ἁμαρτάνουσι.

3. Σιτίων (Δ. Γρ.).

4. Ἐκ τῆς λειτουργίας τῶν θανόντων. Ἡ εἰς τὸ πῦρ χοὴ διήκει πρὸς τὸν ἥλιον· ἐκ δὲ τοῦ ἡλίου συνίσταται (ἔχει τὸ εἶναι) ὁ ὄμβρος· ἐκ δὲ τοῦ ὄμβρου οἱ καρποί· ἐκ δὲ τῶν καρπῶν τὰ ἔμψυχα (Σμριτή).

5. Ἡ Βέδα γὰρ οὕτως ὁρίζεται· «Τὸ πᾶν τοῦτο ὡσπερεὶ κύκλος ἐστὶ περι-
» φερόμενος· ἐκ μὲν γὰρ τῆς θυσίας γίνεται βροχή· ἐκ δὲ ταύτης καρποί (σι-
» τία)· ἐκ δὲ τούτων ζῶσι τὰ ἔμψυχα ἄλογα καὶ λογικὰ ζῶα, καὶ πάλιν αὐτὰ
» τὰ λογικὰ ποιοῦσι θυσίας, ἐξ ὧν γίνονται βροχαί, καὶ οὕτω κυκλικῶς συνί-
» σταται τὸ πᾶν.»

6. Δηλ. οὐχ οὕτω ποιεῖ.—οὐ περιστρέφει (Δ. Γρ.).

7. Ἐν ἁμαρτίαις τούτου ἡ ζωή (Δ. Γρ.).

8. Κἂν ταῖς αἰσθήσεσι τούτου ἡ καθηδυπάθεια (Δ. Γρ.).

17 «Ὃς δὲ μόνον τοῦ Θεοῦ ἐρᾷ, καὶ κορέννυται ἐν αὐτῷ,
» καὶ ἥδεται ἐν αὐτῷ, τούτῳ οὐ δεῖ τῶν πρακτέων [1].

18 «Ἀλλ᾽ οὔτε πράξαντί τι τῶν πρακτέων οὐδεμία ἀρετὴ
» ἐστιν αὐτῷ, οὔτε μὴ πράξαντι χρεία ἐστὶν αὐτῷ βοη-
» θείας τινὸς εἰς ἐπίτευξιν τῆς ἀθανασίας.

19 «Ποίει οὖν τὰ πρακτέα ἀδιαλείπτως, μὴ ἀφορῶν εἰς καρ-
» πόν· ὁ γὰρ ποιῶν μὲν, μὴ ἀφορῶν [2] δὲ εἰς καρπὸν,
» ἐπιτυγχάνει τῆς ἀθανασίας [3].

20 «Οὕτω γὰρ καὶ ὁ Ζανάκας [4] καὶ οἱ κατ᾽ αὐτὸν διὰ τῆς
» πράξεως ἐκτήσαντο τὴν θείαν γνῶσιν. Συνειδὼς δ᾽ ὅτι
» καὶ τοῖς ἀνθρώποις ὑπόδειγμα ἔσῃ, δίκαιος εἶ πράτ-
» τειν τὰ πρακτέα.

21 «Ὅ,τι γὰρ ὁ ἄρχων καὶ ὁ ἐπίσημος πράττει, τοῦτο καὶ ὁ
» χυδαῖος πράττει ἀκολούθως, ἔχων αὐτὸν ὡς ὑπόδειγμα
» καὶ ὑπογραμμόν [5].

22 «Ἔμοι γε μὲν οὐδεμία χρεία ἐστὶ τοῦ πρακτέου [6]· οὐδὲν
» γὰρ τῶν ἐν τρισὶ κόσμοις ἄκτητόν μοι ἐστὶν, ὅπερ δεῖ
» μοι κτήσασθαι· ἀλλὰ καὶ οὕτω, πράττω τὰ πρακτέα.

23 «Ἐὰν γὰρ ἐγώ ποτε ἐπιμελῶς [7] μὴ πράξω ταῦτα, οἱ ἄν-
» θρωποι ἐξ ἅπαντος [8] τὴν ἐμὴν ὁδεύσουσιν ὁδὸν [9] ἀκο-
» λουθήσαντες.

---

1. Ὅς τις δὲ φθάσει εἰς θεωρίαν, τούτῳ οὐ δεῖται πράξεως· ἐπειδὴ μόνῳ τῷ Θεῷ ἥδεται καὶ μόνῳ αὐτῷ κορέννυται, διὰ τοῦτο οὐ δεῖ τῶν νομίμων αὐτῷ· ἀπαθὴς γάρ ἐστι.

2. Μὴ προστετηκὼς, μὴ προσκεχηνώς (Δ. Γρ.).

3. Τῆς ἀπαθείας (διὰ τῆς καθαρευούσης καρδίας ἐκ τῆς πράξεως).

4. Βασιλεὺς ἦν μέγας ἐπὶ πράξει καὶ θεωρίᾳ.

5. Ὅ,τι γὰρ ὁ ἐπίσημος διατελεῖ πράττων, εἰς τὸ γενέσθαι παράδειγμα, τοῦτο ὡσαύτως καὶ ὁ κοινὸς λαὸς πράττει, κατὰ μίμησιν.

6. Ἐγὼ μὲν ἀνενδεής εἰμι πάντων, καθὸ Θεός· ἀλλὰ καὶ οὕτω, ποιῶ τὰ νόμιμα καὶ ἔθιμα, εἰς τὸ γενέσθαι παράδειγμα τῷ κόσμῳ.

7. Αὐτολεξεὶ, νηφαλίως.

8. Πανταχόθεν (Δ. Γρ.).

9. Τουτέστι μιμηθήσονταί με.

24 «Καὶ οὗτοι μὲν ἐκπεσόντες τῆς εὐθείας ὁδοῦ, φθαρήσον-
» ται· ἐγὼ δ' αἴτιος γενήσομαι τῆς αἱμομιξίας καὶ τῆς
» μιαρίας αὐτῶν [1].

25 «Καθὼς δὲ οἱ χυδαῖοι [2] ποιοῦσι τὰ πρακτέα προσκεχηνό-
» τες, οὕτω δὴ καὶ ὁ σοφὸς ποιεῖ μὴ προσκεχηνώς, βου-
» λόμενος ὑπόδειγμα γενέσθαι τῷ Κόσμῳ·

26. «Ὁ γὰρ φρόνιμος [3] οὐκ ἐμποδὼν καθίσταται τῇ γνώμῃ
» τῶν προσκεχηνότων [4] τῇ πράξει, ἀλλὰ μάλιστα συμ-
» πράττων, προθύμως συνεργεῖ αὐτοῖς.

27. «Τὰ γεμὴν πρακτὰ ὅλως πράττονται διὰ τῶν ὑλικῶν αἰ-
» σθήσεων [5]· ὁ δὲ ἀνοηταίνων ἐξ οἰήσεως [6], νομίζει [7],
» ὅτι αὐτὸς αὐτὰ πράττει.

28. «Ὁ μὲν δὴ σοφὸς [8], εἰδὼς διαφορὰν τῆς ψυχῆς καὶ τῶν
» αἰσθήσεων [9], καὶ ὅτι αἱ αἰσθήσεις ἀκολουθοῦσι [10] τὰ αἰ-

---

1. Διεφθαρμένου γὰρ τοῦ νόμου φθείρονται καὶ μολύνονται αἱ φυλαί· καὶ οἱ μὲν Βραχμᾶνες μίγνυνται ταῖς τῶν ἄλλων φυλῶν γυναιξίν· αἱ δὲ τῶν ἄλλων φυλῶν ταῖς τῶν Βραχμάνων.

2. Οἱ βάρβαροι, οἱ ἀπαίδευτοι (Δ. Γρ.)

3. Ὁ φρόνιμος οὐκ ἀποτρέπει τοῦ πράττειν τὰ νόμιμα τοὺς εὐλαβεῖς, ἀλλὰ μάλιστα ὁδηγεῖ αὐτοὺς εἰς τοῦτο.

4. Τῶν προσπεφυκότων ἀφρόνων τῇ πράξει (Δ. Γρ.).

5. Αἱ αἰσθήσεις ἴδιαί εἰσι τῆς ὕλης. Παρ. χάριν ὡς διὰ μὲν τῆς χειρὸς αἱ λειτουργίαι καὶ αἱ προσφοραί, διὰ δὲ τῆς γλώττης οἱ ὕμνοι καὶ δοξολογίαι· ὑλικαὶ δὲ λέγονται, καθὸ ἐξ ὕλης εἰσίν.

6. Ὁ δὲ οἰηματίας καὶ ἄφρων, ὁ δὲ ἀνοηταίνων ἐκ τοῦ τῆς σαρκὸς φρονήματος (Δ. Γρ.).

7. Δοκεῖ, οἴεται (Δ. Γρ.).

8. Ὁ φιλόσοφος, εἰδὼς ὅτι αἱ αἰσθήσεις ἐνεργοῦσι διὰ τῶν αἰσθητῶν, διὰ τοῦτο φρονεῖ, ὅτι αὐτός, οὔτε αἴσθησίς ἐστιν, οὔτε ἔργον αὐτοῦ ἐστιν, ὅτι αὐτὸς οὐδὲν ποιεῖ.

9. Καὶ τῶν αἰσθητῶν (Δ. Γρ.).

10. Φέρονται εἰς τὰ αἰσθητά (Δ. Γρ.).

» αἰσθητὰ, οὐ προσφύεται [1] οὔτε ταῖς αἰσθήσεσιν, οὔτε τοῖς » ἐξ αὐτῶν ἔργοις.

29. «Οἱ δὲ ὄντες ἄφρονες [2] ἐκ τοῦ τῆς σαρκὸς φρονήματος, » πρόσκεινται ταῖς αἰσθήσεσι καὶ τοῖς ἐξ αὐτῶν ἔργοις [3]· » τοὺς δὲ ὀλιγόφρονας τούτους καὶ κενόφρονας οὐκ ἂν » μεθαρμόσειεν ὁ πολύφρων καὶ ἐχέφρων.

30. «Εἰς ἐμὲ οὖν ἀνάπεμπε τὰ ἔργα, ἐννοῶν ἐμὲ [4] καὶ μη- » δενὸς ἐπιθυμῶν, μηδὲ νομίζων, ὅτι σόν ἐστι τὸ ἔργον [5], » πολέμει, μηδαμῶς λυπούμενος.

31. «Ὅσοι γὰρ τῶν ἀνθρώπων ποιοῦσιν ἀεὶ τοῦτο τὸ ἐμοὶ δο- » κοῦν [6], πιστεύοντες καὶ μηδαμῶς αἰτιώμενοι, οὗτοι λυ- » τροῦνται τοῦ δεσμοῦ τῶν ἔργων [7].

32. «Ὅσοι δὲ, αἰτιώμενοι ὅπερ εἶπον [8], οὐ κατὰ τὴν ἐμὴν » γνώμην πράττουσι, τούτους γίνωσκε μὴ φρονοῦντας » θεῖα [9], ἀδιακρίτους ὄντας καὶ ἐξώλεις.

33. «Οὐ μὴν ἀλλὰ καὶ ὁ νοῦν ἔχων, ποιεῖ κατὰ τὸ ἑαυ- » τοῦ φυσικὸν ἰδίωμα [10]· ὅτε δ' οἱ ἄνθρωποι ἀκολουθοῦσι » τῷ ἑαυτῶν ἰδιώματι [11] (ἐῤῥίζωται γὰρ καὶ ἀνεξάλειπτον

---

1. Οὐ σύνεστιν (Δ. Γρ.).

2. Οἱ δὲ χυδαῖοι φυσικῇ τῇ διαθέσει (Δ. Γρ).

3. Φρονοῦσιν ὅτι αὐτοὶ αὐτὰ πράττουσιν.

4. Ὅτι ἐγὼ δηλ. προτρέπω σε εἰς τοῦτο.

5. Μὴ ἀποβλέπων εἰς καρπὸν δηλ.

6. Τὸν λόγον μου, τὸ ἀναπέμπειν εἰς Θεὸν πᾶν ἔργον.

7. Ἀπαθεῖς γίνονται (Δ. Γρ.).

8. Τὸ ἀναπέμπειν εἰς Θεὸν πᾶν ἔργον.

9. Τούτους γίνωσκε μὴ γινώσκοντας τὴν θείαν γνῶσιν (τὸ κυρίως ἀγαθόν). (Δ. Γρ.).

10. Ποιοῦσιν ἔργα δηλ. εἰς ἐπίτευξιν τοῦ οὐρανοῦ, καὶ οὐχὶ τῆς θείας γνώσεως· ἵνα μὴ εἴπῃ, διὰ τί πολλοὶ, καὶ νικήσαντες τὰς αἰσθήσεις, οὐ μένουσιν ἐν τῷ ἑαυτῶν νόμῳ, διὰ τοῦτο λέγει, ὅταν ὁ σοφὸς ποιῇ κατὰ τὴν ἑαυτοῦ φύσιν, πόσῳ μᾶλλον ὁ ἄσοφος.

11. Ἐνεργεῖ ὁμοίως τῇ ἑαυτοῦ φύσει· ὅτε δ' οἱ ἄνθρωποι ἐνεργοῦσι κατὰ τὴν ἑαυτῶν φυσιν, ἡ ἐντολὴ τοῦ νόμου τί ποιήσαιτ' ἄν; (Πρ. Γρ.).

» ἔμεινε διὰ τῆς συνηθείας), ἡ χαλιναγωγία τῶν αἰσθή-
» σεων [1] τί ποιήσαιτ' ἄν;

34. «Τοῖς μὲν οὖν ὑπὸ τὴν αἴσθησιν [2] ἄμφω σύνεστιν, ἥ τε » ἔρεσις καὶ τὸ μῖσος· ἀλλ' ὁ ἀπαθὴς γενέσθαι βουλόμε- » νος, οὐχ ὑπόκειται τούτοιν· ἀμφότερα γὰρ πολέμιά ἐςιν « αὐτῷ.

35. «Ὁ δὲ ἴδιος νόμος [3] εἰ καὶ ἄτοπος [4] δοκεῖ, ἔστι δ' ὅμως » κρείττων τοῦ ἀλλοτρίου νόμου, τοῦ δοκοῦντος εὐλο- » γοφανοῦς· ἐν μὲν γὰρ τῷ οἰκείῳ νόμῳ ἀγαθόν ἐστι καὶ » τὸ ἐκχέαι αἷμα [5]· ὁ δ' ἀλλότριος νόμος ἐπικίνδυνος.»

ΑΡΖΟΥΝΑΣ.

36. «Ὁ ἄνθρωπος, καίπερ μὴ θέλων, ὑπὸ τίνος παρακινούμε- » νος, βιαίως πως φέρεται εἰς τὴν ἁμαρτίαν; »

ΚΡΙΣΝΑΣ.

37. «Αὕτη ἡ βία τῆς ἁμαρτίας, ἣ γεννᾶται ἐκ τῆς *Ῥάγας* » (ἐπιθυμίας), πάντη ἄπληστός [6] ἐστι καὶ παγκάκιστος· » ὅθεν διὰ τῆς *Σάτβας* (τοῦ λογικοῦ) αὕτη ἡ ῥάγα νικᾶ- » ται [7]. Ταυτηνὶ οὖν τὴν ἐπιθυμίαν ἴσθι νεκρὰν ἐν τῇ » εἰς τὴν ἀπάθειαν ὁδῷ.

---

1. Ἰσχυρότερον γὰρ ἐστι τὸ φυσικὸν ἰδίωμα.

2. Αἰσθητοῖς (Δ. Γρ.).

3. Εἰ καὶ ἄτοπος δοκεῖ ὁ σὸς νόμος, διότι προστάττει πολεμεῖν, καὶ αἷμα ἐκχέειν, κρείττων ὅμως ἐστὶ τοῦ τῶν Βραχμάνων, ὅς γε καὶ κωλύει αἷμα ἐκχέαι· σοὶ γὰρ ὥρισται παρὰ τοῦ νόμου πολεμεῖν· εὖ οὖν ποιήσεις, εἰ ἀποθάνοις ἐν τῷ οἰκείῳ νόμῳ· ἄλλως γὰρ κίνδυνός ἐστιν, εἰς τὸν ᾅδην πορευθήσῃ.

4. Ἀπαίσιος (Δ. Γρ.).

5. Τὸ θανεῖν (Δ. Γρ.).

6. Δυσπλήρωτος, αὐτολεξεί, παμφάγος.

7. Αὕτη ἡ βία τῆς ἁμαρτίας, ἡ ἐπιθυμία ἐστιν ἡ παμφάγος καὶ παγκάκιστος (Πρ. Γρ.).

38. «Καθὼς γὰρ, τὸ μὲν πῦρ κατακαλύπτεται ὑπὸ τοῦ κα-
» πνοῦ, τὸ δὲ κάτοπτρον ὑπὸ τοῦ ῥύπου, τὸ δ' ἔμβρυον
» ὑπὸ τοῦ ὑμένος, οὕτω δὴ καὶ ἡ κρίσις τοῦ νοὸς ὑπὸ
» τῆς ἐπιθυμίας.

39. «Ἡ μὲν δὴ κρίσις τοῦ νοὸς [1] κατακεκαλυμμένη πέφυκεν
» ἀεὶ ὑπὸ τῆς ἐπιθυμίας, τῆς ἐχθρᾶς τῷ φρόνησιν ἔχοντι [2]
» καὶ ἀκορέστου, καὶ ὁμοίας τῷ πυρί.

40. «Ἕδρα δὲ ταύτης λέγεται τὰ αἰσθητήρια, καὶ ἡ διάνοια,
» καὶ ὁ νοῦς. Τούτοις ἡ ἐπιθυμία, κατακαλύψασα τὸ δια-
» κριτικὸν, μωραίνει [3] τὴν ψυχήν [4].

41. «Τούτου ἕνεκεν, ὑποτάξας ἐν ἀρχῇ τὰς αἰσθήσεις, ἄνελε
» ταύτην τὴν κακίστην ἐπιθυμίαν, τὴν οὖσαν ὄλεθρον
» τῆς τε κρίσεως [5], καὶ τῆς περὶ τὰ θεῖα φρονήσεως.

42. «Αἱ μὲν αἰσθήσεις λέγονται κρείττους τοῦ σώματος· τῶν
» δ' αἰσθήσεων κρείττων [6] ἡ διάνοια· τῆς δὲ διανοίας ὁ
» νοῦς· τοῦ δὲ νοὸς ἡ ψυχή.

43. «Οὕτως οὖν, εἰδὼς τὴν ψυχὴν κρείττω τοῦ νοῦ, κατα-
» σχὼν τὴν διάνοιαν τῷ νοΐ, ἀνενέργητον ποίησον [7] ταύ-
» την τὴν δυσκατάσχετον [8] ἐχθρὰν ἐπιθυμίαν [9].

ΚΕΦΑΛΑΙΟΝ Δ΄.

1. «Τὴν δὲ θεωρητικὴν θείαν γνῶσιν, τὴν ἄφθορον ἔχουσαν

---

1. Ἡ γνῶσις· τὸ λογικόν (Δ. Γρ.).
2. Τῷ νοῦν ἔχοντι, τῷ γνωστικῷ (Δ. Γρ.).
3. Ἀνοηταίνειν ποιεῖ τὴν ψυχήν (Δ. Γρ.).
4. Τὸν ἄνθρωπον, αὐτολεξεί.
5. Γνώσεως, λογικοῦ (Δ. Γρ.).
6. Ἀνωτέρα (Δ. Γρ.).
7. Ἄνελε (Δ. Γρ.).
8. Δυσαπόβλητον (Δ. Γρ.).
9. Ἐν τοῖς ἀνωτέρω βιβλίοις εἴρηκε περὶ τῆς θείας γνώσεως, ἐξ ἧς κτᾶται ὁ ἄνθρωπος τὴν ἀθανασίαν.

» καρπόν, ἐγὼ μὲν εἶπον τῷ Ἡλίῳ, ὁ δ' Ἥλιος τῷ υἱῷ » αὐτοῦ Μανοῦ [1] (τῷ ἐπονομαζομένῳ Σραδδαδέβα), ὁ δὲ » Μανοῦς τῷ υἱῷ αὐτοῦ Ἰξβακοῦ [2].

2. «Πάντες δ' οἱ προφητάνακτες [3] ἐγίνωσκον ταύτην τὴν » θείαν γνῶσιν, ἀλληλοδιαδόχως κτηθεῖσαν [4], ἥτις ἀ» πώλλετο [5] ἐν τούτῳ τῷ βίῳ διὰ πολλοῦ τοῦ χρόνου.

3. «Ἐκείνη δ' ἡ ἀρχαία θεία γνῶσις ἐῤῥέθη σοι ὑπ' ἐμοῦ τή» μερον, καί τοι ἀπόῤῥητός ἐστι καὶ μεγάλη, διότι καὶ » σέβας πρὸς ἐμὲ φέρεις, καὶ ἑταῖρος εἶ [6]. »

ΑΡΖΟΥΝΑΣ.

4. «Ἡ μὲν σὴ γέννησις μεταγενεστέρα [7] ἐστὶν, ἡ δὲ τοῦ » Ἡλίου προγενεστέρα [8]· πῶς ἂν οὖν ἐγὼ γνοίην, ὅτι σὺ » εἶπας ταύτην τῷ Ἡλίῳ ἐν ἀρχῇ; »

ΚΡΙΣΝΑΣ.

5. «Πολλαὶ γεννήσεις καὶ σοῦ καὶ ἐμοῦ ἐγένοντο, ἃς ἐγὼ μὲν » ἁπαξαπάσας γινώσκω, σὺ δ' οὔ.

6. «Εἰ γὰρ καὶ ἀγέννητος τυγχάνω ὢν, καὶ ἀναλλοίωτος » τὴν φύσιν, καὶ κύριος τῶν ὄντων, ἀναλαμβάνων δ' ὅμως » τὴν ὕλην τῇ οἰκείᾳ θελήσει, (ἐνανθρωπῶ [9]).

---

1. Μανοῦς λέγεται ὁ ἔφορος καὶ κυβερνήτης τοῦ κόσμου.
2. Οὗτος ἦν καὶ βασιλεὺς καὶ προφήτης, ὥσπερ ὁ Δαβίδ.
3. Ὁ Νιμὼς, υἱὸς τοῦ Ἰξβακοῦ, καὶ οἱ ἀπόγονοι αὐτοῦ.
4. Ἐλθοῦσαν πρὸς αὐτοὺς κατὰ παράδοσιν (Δ. γρ.).
5. Ἐξίτηλος ἐγένετο (Δ. Γρ.).
6. Ταῦτα ἐῤῥέθησαν εἰς ἀπάντησιν τῶν ἐν τῇ ἀρχῇ τοῦ Γ'. Κεφαλαίου λόγων τοῦ Ἀρζούνα, ἔνθα οὗτος λέγει τῷ Κρισνᾷ· « Εἰπέ μοι ἁπλῶς καὶ ἀπο» φασιστικῶς, ὅθεν τύχοιμι ἂν τῆς ἀθανασίας; »
7. Νέα ἐστιν (Δ. Γρ.).
8. Παλαιά (Δ. Γρ.).
9. Γέννησιν λαμβάνω, γίνομαι ἄνθρωπος (Δ. Γρ.).

7. «Όταν γὰρ τῆς μὲν εὐνομίας [1] μείωσις γένηται [2], τῆς » δ' ἀνομίας [3] αὔξησις, τότ' ἐγὼ σαρκοῦμαι [4].

8. «Γίνομαι δ' ἄνθρωπος ἐν ἑκάστῳ αἰῶνι, εἰς διατήρησιν » μὲν τῶν ἀγαθοποιῶν, εἰς ὄλεθρον δὲ τῶν κακοποιῶν, » τοῦ δὲ νόμου εἰς σωτηρίαν [5].

9. «Ὅς τις ἀληθῶς [6] οἶδε τὴν θείαν μου γέννησιν [7], ἅμα καὶ » τὰ θεῖά μου ἔργα, οὗτος ἐγκαταλιπὼν τὸ σῶμα, οὐ τυγ- » χάνει παλιγγενεσίας [8], ἀλλ' ἐμοῦ.

10. «Ὅσοι γὰρ ἀπηλλαγμένοι εἰσὶ τῆς ἐπιθυμίας, καὶ τοῦ φό- » βου, καὶ τοῦ θυμοῦ, καὶ ἐμὲ διανοοῦνται, καὶ ἐλπί- » ζουσιν εἰς ἐμὲ [9], καὶ καθαρίζονται τῇ γνώσει καὶ τῇ » ἐγκρατείᾳ, οὗτοι ἔρχονται εἰς τὴν φύσιν μου [10].

11. «Ὃν δὲ τρόπον οἱ ἄνθρωποι σέβονταί με [11], τὸν αὐτὸν » τρόπον ἀμείβομαι αὐτούς· οὗτοι δὲ παντοίοις τρόποις [12] » τὴν ἐμὴν ὁδὸν ὁδεύουσιν.

12. «Ἐφιέμενοι γὰρ καρποῦ τινος ἐκ τῶν πράξεων, τοὺς θεοὺς

---

1. Τοῦ μὲν θεμιτοῦ (Πρ. Γρ.).

2. Φθορὰ γένηται (Πρ. Γρ.).

3. Τοῦ δ' ἀθεμίτου γένεσις (Πρ. Γρ.).

4. Γίνομαι ἄνθρωπος (Πρ. Γρ.).

5. Εἰς στερέωσιν (Δ. Γρ.). Ἀφοῦ ὁ νόμος ἐξίτηλος γένηται, πλεονασάσης τῆς ἁμαρτίας, νόμος παρεισέρχεται δι' ἐνσαρκώσεως τοῦ Θεοῦ· ὅθεν οἱ Ἰνδοὶ ἐννέα ἐνσαρκώσεις θείας δοξάζουσι γενέσθαι.

6. Τῷ ὄντι, ἀναμφιβόλως, ἀδιστάκτως (Δ. Γρ.).

7. Ὅτι ἐγὼ ἐπὶ σωτηρίᾳ τῶν ἀνθρώπων γίνομαι ἄνθρωπος, καὶ τοὺς μὲν κακοὺς τιμωρῶ, τοὺς δ' ἀγαθοὺς σώζω.

8. Οὐ μετασωματοῦται, ἀλλὰ σύνεστιν ἐμοὶ αἰωνίως.

9. Εἴτε θείαν γνῶσιν, δηλ. θέλουσιν, εἴτε καρπὸν τῶν ἔργων, ἀπολαμβάνουσι δι' ἐμοῦ.

10. Γίνονταί μοι ὁμοφυεῖς, ὁμοούσιοι, σύνεισι, συζεύγνυνταί μοι (Δ. Γρ.).

11. Ὅσα τοῖς θεοῖς προσφέρουσι, τῷ μὲν Ἴνδρᾳ εἰς ἀπόλαυσιν οὐρανοῦ, τῷ δὲ Κουβέρᾳ εἰς κτῆσιν πλούτου, καὶ ἄλλοις θεοῖς δι' ἄλλα ἀγαθὰ, εἰς ἐμὲ ταῦτα ἀναφέρονται.

12. Πανταχόθεν (Δ. Γρ.).

» θεραπεύουσιν ἐν τούτῳ τῷ ἀνθρωπίνῳ βίῳ· ὁ δὲ καρ-
» πὸς τῶν πράξεων εἰς τάχος αὐτοῖς γίνεται.

13. «Ἡ τετρακτὺς τῶν φυλῶν[1] ὑπ' ἐμοῦ ἐγένετο, καὶ αἱ » ποιότητες καὶ τὰ ἔργα[2] κατὰ μέρος· ταύτης δὲ τῆς » τετρακτύος ἐμὲ ποιητὴν ἴσθι, καὶ μὴ ποιητήν[3].

14. «Τὰ γὰρ ἐμαυτοῦ ποιήματα[4] οὐ ποιοῦσί με ἐμπαθῆ[5]· » οὐ γὰρ τοῦ καρποῦ τῶν ἔργων ἔφεσίς μοι ἐστίν. Ὅς τις » τοιγαροῦν τοιοῦτόν με γινώσκει, οὗτος οὐ δέεται τοῖς » ἔργοις[6].

15. «Εἰδὼς δ' ὅτι καὶ οἱ ἀρχαῖοι φίλοι τῆς ἀπαθείας[7] ἔρ-

---

1. Αἱ τέσσαρες φυλαὶ ὑπ' ἐμοῦ ἐγένοντο, καὶ αἱ ποιότητες καὶ τὰ ἔργα· τοῦ μὲν Βραχμᾶνος ποιότης ἐστὶν ἡ ἀγαθότης, ἔργον δ' ἡ καρτερία καὶ ἡ ἐγκράτεια τῶν παθῶν, καὶ τὸ εὔχεσθαι. Τοῦ δὲ Ξατρῆ ποιότης ἐστιν ἡ ἀγαθότης καὶ ἡ τρυφὴ (ἡ ἡδονή)· ἔργον δὲ τὸ ἀνδραγαθεῖν καὶ τὸ πολεμεῖν. Τοῦ δὲ Βαίσα ποιότης μὲν ἡ τρυφὴ καὶ ὁ θυμὸς (ἡ κακία, ἡ ἄγνοια), ἔργον δὲ ἡ γεωργία καὶ ἐμπορία. Τοῦ δὲ Σούδρα ποιότης μέν ἐστιν ἡ κακία καὶ πάσης κακίας εἶδος, ἔργον δ' ἡ δουλεία καὶ ἡ ὑπηρεσία.

2. Ἡ Σάτβα πλείων ἐστὶ τῆς Ῥάγας καὶ τῆς Τάμας τοῖς Βραχμᾶσι· τοῖς δὲ Ξατραῖς ἡ Σάτβα καὶ ἡ Ῥάγα πλείων τῆς Τάμας· τοῖς δὲ Βαίσαις ἡ Ῥάγα καὶ ἡ Τάμα πλείων τῆς Σάτβας· τοῖς δὲ Σούδραις ἡ Τάμα πλείων τῆς Ῥάγας καὶ Σάτβας.

3. Οἱονεὶ ἔλεγεν· οὐχ ὑπ' ἐμοῦ ἀμέσως ἐποιήθη, ἀλλ' ὑπὸ τῆς ἐμῆς ἐνεργείας καὶ δυνάμεως (ἄνευ πόνου δηλ. καὶ μόχθου).

4. Τὰ ἐμαυτοῦ ποιήματα οὐ ποιοῦσί με προσκεχηνότα ἐπάρσει, ἢ δόξῃ, ἢ ἀπολαύσει τινι· ἀνενδεὴς γάρ εἰμι καὶ πράγματος καὶ ἐπαίνου.

5. Προσκεχηνότα (Δ. Γρ.).

6. Οὐ δεσμεύεται, οὐ μετασωματοῦται δηλ. ἵνα τοιαῦτα πάλιν ἔργα πράττῃ, ἤτοι ἀπαλλάττεται τοῦ δεσμοῦ τῶν ἔργων. Ἰστέον, ὡς ἁπλῶς τὸ ἔργον καὶ ἡ πρᾶξις δεσμὸς ἐν τούτῳ τῷ βίῳ ἐκλαμβάνεται παρὰ τῷ Βεάσᾳ· ὅθεν, ὡς εἰ ἔλεγεν· εἴ τις πράττοι κατὰ τὴν προσταγὴν τοῦ νόμου εἰς τὸ τυχεῖν θεωρίας, τοῦτό ἐστι τὸ μὴ πράττειν, δηλ. οὐκ ἔστι δεσμός· εἴ τις δὲ πράττει οὐχὶ εἰς κτῆσιν θεωρίας τὰ τοῦ νόμου, ἀλλ' εἰς τὸ τυχεῖν καρποῦ, τοῦτό ἐστι τὸ κακῶς πράττειν, δηλ. δεσμός. Ὅς τις οὖν οὕτως οἶδε ταῦτα, οὑτοσὶ συνετός ἐστι καὶ ἄξιος θεωρίας.

7. Ὁ Ζανάκας δηλ. καὶ οἱ κατ' αὐτόν.

» γα[1] ἔπραξαν πρότερον (ἐπὶ κτήσει τῆς ἀπαθείας),
» πράττε καὶ σύ.

16. «Τί δ' ἐστὶ τὸ πρακτέον, καὶ τί τὸ μὴ πρακτέον, ἐγὼ » οἶδα, καὶ οἱ σοφοὶ ἀγνοοῦσιν· ἀλλ' ἐγὼ ἐρῶ σοι τί ἐστι » τὸ πράττειν, καὶ τὸ μὴ πράττειν[2]· ὅπερ εἰδὼς ἀπαλ- » λαγήσῃ τοῦ κακοῦ[3].

17. «Ἄξιον δ' ἐστὶ γινώσκειν τίς ἐστιν ἡ πρᾶξις, καὶ τίς ἡ » ἀπραξία[4]· δυσκατάληπτος γὰρ ἡ ὁδὸς τοῦ πράττειν[5].

18. «Ὅς τις βλέπει ἐν μὲν τῷ πράττειν τὸ μὴ πράττειν, ἐν » δὲ τῷ μὴ πράττειν τὸ πράττειν, οὗτός ἐστι συνετὸς » ἐν βροτοῖς καὶ θεωρητικὸς, εἰ καὶ πράττει πάντα, οὐ » μόνον τὰ ἐντεταλμένα, ἀλλὰ καὶ τὰ ἀπηγορευμένα τῶν » ἔργων[6].

19. «Οὗτινος δὲ τὰ ἔργα ἀφίστανται[7] τῆς τοῦ καρποῦ ἐπι- » θυμίας[8], οὗτος τῇ γνώσει, ὡς πυρὶ, τὸν τῶν ἔργων » καρπὸν κατέκαυσεν[9]· οἱ δὲ φρόνιμοι σοφὸν ἀποκαλοῦσι » τὸν τοιοῦτον.

20. «Ὅς τις μὲν οὖν τοῦ μὲν ἐκ τῶν ἔργων καρποῦ καταφρο-

---

1. Πράξεις (Δ. Γρ.).

2. Ἐν τῷ κόσμῳ δηλ.

3. Ἐντεῦθεν ἐκτεταμένως; ἀναμιμνήσκει αὐτὸν τῆς προειρημένης πράξεως.

4. Τί πράττειν καὶ τί μὴ πράττειν, ἤτοι τίς ἡ ἀπηγορευμένη πρᾶξις.

5. Δυσκατάληπτον γὰρ τί τὸ πράττειν, καὶ τὸ μὴ πράττειν, καὶ τὸ κακῶς πράττειν.

6. Ὅς τις ἔλθῃ εἰς ἀπάθειαν οὐδεμίαν διαφορὰν οἶδε τοῦ ψυχροῦ καὶ τοῦ θερμοῦ, καὶ τῆς λύπης καὶ τῆς χαρᾶς, καὶ οὐδεμίαν διαφορὰν τοῦ ὕδατος καὶ τοῦ οἴνου, ὅς ἐστιν ἀπηγορευμένος· ὅθεν, ἐὰν ὁ ἀπαθὴς πίῃ κατὰ τύχην καὶ οἶνον, οὐδὲν ἁμάρτημα ἔχει, ἐπειδὴ οὐδεμίαν ἐπιθυμίαν ἔχει ἢ προσπάθειαν.

7. Ἔξω εἰσί (Δ. Γρ.)

8. Οὐκ ἀποβλέπουσι δηλ. εἰς καρπόν. Ὅς τις οὐκ ἐπιθυμεῖ τινος, οὐδὲ διανοεῖται, ὡς ἐὰν πράξω τοῦτο, ἀπολαύσω τούτου τοῦ ἀγαθοῦ, ἐὰν δ' ἐκεῖνο ἐκείνου, οὗτός ἐστι σοφός.

9. Τοῦτον οἱ φρόνιμοι σοφὸν ἀποκαλοῦσιν, ὡς κατακαύσαντα τὰ ἔργα τῇ γνώσει, ὡς πυρί (Πρ. Γρ.).

» νεῖ, μόνῳ δ' ἐν τῷ Θεῷ κορέννυται, εἰς μηδένα ἄλλον » ἐλπίζων [1], οὗτος, εἰ καὶ τοῖς ἔργοις συμφύρεται, οὐδὲν » ὅμως ἐργάζεται [2].

21. «Ὁ γὰρ μηδενὸς ἐπιθυμῶν [3], καὶ χαλιναγωγῶν τὴν διά- » νοιαν καὶ τὸ σῶμα, καὶ καταφρονῶν μὲν πάντων τῶν » ὧν ἔχει [4], μόνον δὲ ποιῶν τὰ συστατικὰ τοῦ σώμα- » τος [5], οὐχ ἁμαρτάνει [6].

22. «Ὅς τις δ' εὐαρεστεῖται τῷ αὐτομάτως ἐρχομένῳ εἰς τρο- » φὴν, καὶ ἔξω ἐστὶ τῶν φύσει ἀντικειμένων, καὶ πρὸς » πάντας εὐμενὴς, καὶ ὁ αὐτὸς ἐν τῇ ἐπιτυχίᾳ καὶ ἀπο- » τυχίᾳ [7], οὗτος, εἰ καὶ ἐργάζεται, οὐ δεσμεύεται [8].

23. «Ὃς γὰρ ἀνέραστος [9], καὶ ἀπαθὴς καθέστηκε, καὶ ὑπο- » τάττει τὴν διάνοιαν τῇ γνώσει, καὶ ποιεῖ πᾶν διὰ τὸν » Θεὸν, τούτου ἅπαν ἔργον ἐξαλείφεται [10].

24. «Ἡ λαβίς [11] ἐςὶ τὸ θεῖον [12], τὸ θυόμενόν [13] ἐςὶ τὸ θεῖον, » τὸ πῦρ ἐστι τὸ θεῖον, ὁ θύων ἐστὶ τὸ θεῖον, τὸ τῆς

---

1. Μηδενὶ ἄλλῳ προσκεχηνώς (Δ. Γρ.).

2. Τουτέστιν, εἰ καὶ τὰ τοῦ νόμου καὶ τὰ τοῦ σώματος ἔργα ἐργάζεται, δηλ. καὶ τρώγει, καὶ πίνει, καὶ θύει, καὶ εὔχεται, ἔξω ἐστὶ τοῦ δεσμοῦ τῶν ἔργων, δηλ. ἀπαθής ἐστι.

3. Ὁ γὰρ ἀνέραστος ὢν (Δ. Γρ.).

4. Τῶν κτημάτων (Δ. Γρ.).

5. Ἐξ οὐρανοῦ ἢ ἐξ ἀνθρώπου.

6. Τουτέστιν, εἰ καὶ οὐκ εὔχεται τρὶς τῆς ἡμέρας, κατὰ τὴν προσταγὴν, οὐδ' ἄλλα πράττει, ὡς διώρισται, οὗτος ἀπαθής ἐστι.

7. Πόῤῥω τῆς χαρᾶς καὶ τῆς λύπης, τοῦ καύματος καὶ τοῦ ψύχους.

8. Οὐ μετασωματοῦται, ἀλλὰ μένει ἀπαθὴς, καὶ σύνεστι τῷ Θεῷ.

9. Οὐδενὸς ἐπιθυμεῖ (Δ. Γρ.).

10. Ἐν τοῖς ἑξῆς λέγει, ὡς τὸ ἔργον ἐξαλείφεται ἐκείνου, ὅς τις θεωρεῖ, ὡς ἐν ἅπασι τοῖς μέλεσι τῆς θυσίας ὁ Βραχμᾶς ἐστι, καὶ οὐκ ἀποβλέπει εἰς καρπόν.

11. Ἐν ᾗ τιθέμενοι τὸ θυόμενον, ὅ ἐστι βούτυρον ἢ γάλα, ἢ ἄλλο τι εἶδος θύματος, ῥίπτουσιν αὐτὰ εἰς τὸ πῦρ.

12. Τουτέστιν ὁ Θεὸς, ὁ Βράχμας.

13. Τὸ θῦμα. (Δ. Γρ.).

» θυσίας ἔργον ἐστὶ τὸ θεῖον. Ὅστις οὖν θεωρεῖ, ὡς ἅπαν
» ὄργανον καὶ ἔργον τῆς θυσίας τὸ θεῖόν ἐστιν, οὗτος
» τυγχάνει τοῦ θείου[1].

25. «Ἄλλοι μὲν οὖν, οἱ περὶ τὴν πρᾶξιν[2], οἱ ἀφορῶντες εἰς
» καρπὸν, ἐκτελοῦσι θυσίαν τοῖς θεοῖς[3]· ἄλλοι δὲ[4] θύου-
» σιν ἐν τῷ πυρὶ, θεωροῦντες, ὡς τὸ πῦρ τὸ θεῖόν ἐστι[5].

26. «Ἄλλοι δὲ[6] θύουσι τὰς αἰσθήσεις τῇ ἐγκρατείᾳ, καὶ παρ-
» θενίᾳ, ὡς πυρί· ἄλλοι δὲ[7] θύουσι τὰ ὑπὸ τὴν αἴσθησιν
» (τὰ αἰσθητὰ) ταῖς αἰσθήσεσιν, ὡς πυρί.

27. «Ἄλλοι δὲ[8] θύουσι τὰς ἐνεργείας τῶν δέκα αἰσθήσεων[9]
» καὶ τῶν δέκα πνευμάτων τῇ πρὸς τὸν Θεὸν θεωρίᾳ,
» ὡς πυρὶ, ὅπερ ἅπτεται ὑπὸ τῆς γνώσεως.

28. «Καὶ ἄλλοι μὲν θύουσι διὰ τῆς δόσεως τοῦ πλούτου[10],
» ἄλλοι δὲ διὰ τῆς νηστείας, οἱ δὲ διὰ τῆς χαλιναγω-
» γίας τοῦ λογισμοῦ[11], διὰ τῆς μελέτης καὶ ἀναγνώσεως
» τῶν Βεδῶν, σκληραγωγίᾳ χρώμενοι[12].

---

1. Ἐν τοῖς ἑξῆς λέγει, ὡς δωδεκαειδής ἐστιν ἡ θυσία.

2. Οἱ πρακτικοί.

3. Ἥτις ἐστὶ θυσία πραγματική.

4. Οἱ θεωρητικοὶ, οἱ ἀναπέμποντες εἰς Θεὸν πᾶν ἔργον.

5. Νομίζοντες, ὅτι τὸ θεῖόν ἐστι τὸ πῦρ καὶ τὰ λοιπὰ εἴδη, ὡς ἀνωτέρω εἴρηται, καὶ μηδένα καρπὸν αἰτοῦντες, ἀλλ' ἅπαν ἔργον ἀναφέροντες εἰς Θεόν.

6. Οἱ ἐγκρατεῖς τῶν παθῶν, οἱ ἄγαμοι, ἢ οἱ μέχρι ζωῆς παρθένοι.

7. Οἱ κοσμικοὶ, οἱ ἔγγαμοι, οἱ ἀπολαμβάνοντες τῶν τοῦ κόσμου κατὰ τὸν νόμον καὶ μὴ προσκεχηνότες.

8. Οἱ θεόφρονες, οἱ μηδὲν ποιοῦντες μηδὲ ἐργαζόμενοι, μήτε βλέποντες δηλ. μήτε ἀκούοντες, μήτε πνέοντες, τουτέστιν οἱ νεκρώσαντες τὰς ἐνεργείας τοῦ σώματος, καὶ μόνοι μόνῳ Θεῷ συνόντες ἐν θεωρίᾳ καὶ ἐκστάσει.

9. Τὸ ἀκούειν καὶ βλέπειν κτλ. καὶ τὸ λαλεῖν καὶ περιπατεῖν κτλ.

10. Καὶ ἡ ἐλεημοσύνη θυσία ἐστὶ, καὶ ἡ νηστεία, καὶ ἡ χαλιναγωγία τῆς διανοίας, καὶ ἡ μελέτη καὶ γνῶσις τῶν Βεδῶν.

11. Διὰ τῆς ἀπαθείας.

12. Τὸ ἐχεμυθεῖν, τὸ ἐκκρεμᾶσθαι, καὶ ἐκτίθεσθαι ἐν μὲν θέρει εἰς τὰς πυρώδεις ἀκτῖνας τοῦ ἡλίου, ἢ ἐπὶ τοῦ πυρός· ἐν δὲ χειμῶνι ἐπὶ τοῦ ὕδατος, κτλ.

29. «Ἄλλοι δὲ, οἱ ἐγκρατεῖς τῆς πνοῆς [1], ἐπέχοντες τὴν πο-
» ρείαν τῆς ἐκπνοῆς καὶ εἰσπνοῆς, θύουσι τὴν μὲν ἐκπνοὴν
» τῇ εἰσπνοῇ, τὴν δὲ εἰσπνοὴν τῇ ἐκπνοῇ.

30. «Ἄλλοι δὲ ὀλιγοσιτοῦντες [2] θύουσι τὴν ἐνέργειαν τῶν αἰ-
» σθήσεων ταῖς αἰσθήσεσι [3]. Πάντες δ' οὗτοι, οἱ τοιαύ-
» τας θυσίας ποιοῦντες, ἀπαλλάττονται τῶν ἁμαρτιῶν τῇ
» τοιαύτῃ θυσίᾳ.

31. «Μεταλαμβάνοντες δὲ τοῦ τῆς θυσίας λειψάνου, ὅπερ ἐ-
» στὶν ἀμβροσία, ἀπολαμβάνουσι τὸν ἀΐδιον Θεόν [4]. τῷ
» δὲ μὴ θύοντι οὔθ' οὗτος ὁ κόσμος ἐστὶν, οὔθ' ὁ ἕτερος [5].

32. «Τοιαῦται δὲ πολυειδεῖς θυσίαι διατεταγμέναι εἰσὶν ὑπὸ
« τῆς Βέδας αὐτῆς [6], ἃς ἴσθι γινομένας ἐκ τῆς πράξεως [7].
« Οὑτωσὶ δ' εἰδὼς [8], λυτρωθήσῃ τοῦ δεσμοῦ τοῦ κόσμου.

33. «Ἡ μέντοι γε νοερὰ θυσία κρείττων ἐστὶ τῆς ὑλικῆς· ἡ

---

1. Διὰ τῶν μυκτήρων ἐγκράτειαν τῆς πνοῆς ποιοῦσι· κρατοῦντες τὸν δεξιὸν μυκτῆρα ἕλκουσι τὴν ἐκπνοὴν εἰς τὰ ἐντὸς διὰ τοῦ ἀριστεροῦ· ἔπειτα δὲ, κρατοῦντες τὸν ἀριστερὸν μυκτῆρα, ἐξάγουσι τὴν εἰσπνοὴν μετὰ τῆς ἐκπνοῆς διὰ τοῦ δεξιοῦ. Καλεῖται δὲ ἡ θυσία αὕτη Π α ν α ϊ ά μ α, ἤτοι ἐγκράτεια πνοῆς.

2. Τῇ ὀλιγοσιτίᾳ (Δ. Γρ.).

3. Διὰ τοῦ ὀλίγα ἐσθίειν ἀπονεκροῦσι δηλ· τὰς αἰσθήσεις, ἀνενεργήτους ποιοῦσι.

4. Οἱ δὲ ποιοῦντες θυσίαν νοεράν, μετέχοντες τροφῆς καθαρᾶς, ὡσπερεὶ λειψάνου θυσίας πνευματικῆς, ἀπολαμβάνουσι τὸν Θεόν.

5. Τῷ δὲ μὴ θύοντι, οὔτ' ἐν τούτῳ τῷ βίῳ ἄνεσις, οὔτ' ἐν τῷ ἑτέρῳ· μὴ ποιῶν γὰρ τοιαύτην θυσίαν, ὡς ὁ νόμος διαγορεύει, οὔτε τοῦ οὐρανοῦ τυγχάνει, οὔτ' ἐπὶ γῆς δόξης ἢ πλούτου, καὶ ἐν τούτῳ τῷ κόσμῳ ἄνεσιν οὐκ ἔχει, καὶ τῆς δόξης τοῦ οὐρανοῦ στερεῖται· τουτέστι παντοίοις τρόποις θυσίαν ἐκτελεῖν δεῖ, ἢ πραγματικὴν ἢ νοεράν.

6. Ἐξηρευγμέναι εἰσὶν ἐκ τοῦ στόματος τῆς Βέδας (Δ. Γρ.).

7. Ἐκ τῆς ἐνεργείας τοῦ σώματος, τῆς διανοίας, τοῦ λόγου, καὶ οὐχὶ ἐκ τῆς ψυχῆς· δηλ. οἵαν χαρὰν λήψεται ὁ ἄνθρωπος διὰ τῶν ἔργων, ταύτην λήψεται ἐν ταὐτῷ διὰ τῆς θεωρίας.

8. Οὑτωσὶ δὲ γινώσκων (φρονῶν), (τυχὼν τῆς γνώσεως δηλ.), λυτρωθήσῃ τοῦ δεσμοῦ τοῦ κόσμου.

» γὰρ πρακτικὴ ἀρετὴ καὶ ὁ καρπὸς αὐτῆς ἐν τῇ θεωρητι-
» κῇ ἐμπεριέχεται.

34. «Ταύτην δὲ τὴν θείαν γνῶσιν[1] ἴσθι γινομένην ἐξ εὐλα-
» βείας[2] καὶ ἐρωτήσεως καὶ ὑπακοῆς[3]· οἱ δ' ἔχοντες
» τὴν γνῶσιν τῶν ὄντων[4] διδάξουσί σε τὴν γνῶσιν ταύτην,

35. «Ἧς τυχών, οὐχ ἕξεις ἔτι ἄγνοιαν[5], καὶ δι' ἧς ὄψει πάν-
» τας μὲν ἐν σεαυτῷ, σεαυτὸν δ' ἐν ἐμοί[6],

36. «Καὶ δι' ἧς, ὥσπερ διὰ νηός, διαπλεύσεις εὐμαρῶς τὸ πέ-
» λαγος τῶν ἁμαρτιῶν, κἂν ἁμαρτωλότατος ᾖ πάντων
» τῶν ἁμαρτωλῶν.

37. «Καθὼς γὰρ τὸ ὑλικὸν πῦρ[7] τέφραν ἀποτελεῖ τὰ ξύλα,
» οὕτω καὶ τὸ πῦρ τῆς θείας γνώσεως πάντα τὰ ἔργα.

38. «Οὐδὲν γὰρ καθαρτικὸν παρεμφερές ἐστι τῇ θείᾳ γνώ-
» σει[8]· ταύτην δὲ τὴν θείαν γνῶσιν κτᾶται ἐν ἑαυτῷ
» ὁ ἄνθρωπος διὰ πολλοῦ τοῦ χρόνου, καθαρθεὶς διὰ τῆς
» πρακτικῆς ἀρετῆς.

39. «Κτᾶται δὲ ταύτην τὴν γνῶσιν ὁ πίστιν ἔχων[9] καὶ εἰς
» Θεὸν μόνον βλέπων καὶ τῶν αἰσθήσεων κρατῶν. Κτη-
» σάμενος δὲ (θεῖαν γνῶσιν), ἐν βραχεῖ ἀπάθειαν καὶ ἀ-
» θανασίαν[10] προσεπικτᾶται.

---

1. Θεωρίαν (Δ. Γρ.).

2. Ταπεινώσεως (Δ. Γρ.).

3. Προσκυνήσεως πρὸς τὸν πνευματικὸν πατέρα (αὐτολεξεί).

4. Οἱ σοφοὶ θεωρητικοί.

5. Ἣν ἔχεις εἰς τὸ ἀνελεῖν τοὺς οἰκείους.

6. Τουτέστι καὶ σὺ καὶ ἐκεῖνοι ἓν ἐστε, καὶ σὺ καὶ ἐγὼ ἓν ἐσμέν.

7. Ἡ πυρκαϊά (αὐτολεξεί).

8. Οὐδεμία τῶν ἀρετῶν (ἄσκησις, σκληραγωγία, νηστεία, κτλ.) παρεμφερής ἐστι τῇ θείᾳ γνώσει.

9. Ὁ μὴ ἀμφιβάλλων (αὐτολεξεί).

10. Ἄκραν ἄνεσιν, ἡδονήν (Δ. Γρ.).

40. «Ὁ δ' ἄνους[1] καὶ ἄπιστος[2] καὶ ὕποπτος[3] ἀπόλλυται· τῷ » γεμὴν ὑπόπτῳ οὔθ' οὗτος ὁ κόσμος ἐστὶν, οὔθ' ὁ ἕτερος, » οὐδ' ὅλως ἄνεσις.

41. «Τὸν δὲ τὴν πρᾶξιν ἀναπέμποντα εἰς Θεὸν, καὶ τὴν ὑπο» ψίαν ἐκκόψαντα διὰ τῆς γνώσεως, καὶ κυριεύσαντα ἑαυ» τοῦ, οὐ δεσμεύουσι τὰ ἔργα[4].

42. «Ταῦτ' ἄρα, τεμὼν τῷ τῆς γνώσεως ξίφει ταύτην τὴν » ὑπόνοιαν[5], τὴν ἐξ ἀγνοίας γεγονυῖαν, καὶ ἐν τῇ σῇ καρ» δίᾳ ἑστηκυῖαν, ἀνάστα καὶ ἔργου ἅψαι[6].

ΚΕΦΑΛΑΙΟΝ Ε'.

ΑΡΖΟΥΝΑΣ.

1. «Σὺ μὲν οὖν, ὦ Κρισνᾶ, προτείνεις καὶ ἐποχὴν τῆς πρά» ξεως, καὶ θεωρίαν καὶ πρᾶξιν ὁμοῦ· εἰπέ μοι δ' ὅμως » ἓν ἐκεῖνο εὐκρινῶς, ὅ,τι τοῖν δυοῖν ἄριστόν ἐστιν[7]; »

ΚΡΙΣΝΑΣ.

2. «Ἡ ἀποχὴ τῆς πράξεως, ἡ θεωρία δηλονότι καὶ ἡ πρᾶ» ξις, ἀμφότερά εἰσι πρόξενα τοῦ ἄκρου ἀγαθοῦ[8]· καλ» λίων[9] μέν τοι γε ἡ πρᾶξις[10] τῆς ἀπραξίας[11].

---

1. Ὁ μὴ ἐννοῶν ὅ,τι διδάσκει αὐτὸν ὁ διδάσκαλος.
2. Ὁ μὴ πιστεύων τοῖς λόγοις τοῦ διδάσκοντος.
3. Ὁ ὑποπτεύων εἰ οὕτως ἔχει· οὐδενὶ γὰρ πιστεύει ὁ ὕποπτος, καὶ ἐκ τούτου κακῶς ζῇ· διὰ τοῦτο ὁ ὕποπτος χείρων ἐστὶ τοῦ ἄνοος καὶ ἀπίστου.
4. Τουτέστιν εἰ καὶ ποιεῖ ἔργα, οὐ δεσμεύεται ἐν τούτῳ τῷ βίῳ.
5. Πῶς ἐγὼ φονεύσω, κτλ.
6. Πολέμει (Δ. Γρ.).
7. Κρείττων ἐστίν (Δ. Γρ.).
8. Τῆς ἀθανασίας (Δ. Γρ.).
9. Ἀρείων (Δ. Γρ.).
10. Τῷ εἰσαγωγικῷ καὶ μὴ ἐντελεῖ θεωρητικῷ, εἰς τὸ καθαρθῆναι τὰ ἐντός.
11. Δηλ. θεωρίας.

3. «Ὅστις γὰρ οὔτε μισεῖ τι, οὔτε ἐφίεται[1], οὗτος, εἰ καὶ » πράττει, δῆλός ἐστιν ὡς ἀπράγμων ἐστίν[2]· ὁ δ' ἄνευ » μίσους καὶ ἐφέσεως ὤν, εὐμαρῶς τοῦ δεσμοῦ ἀπολύε-» ται, δηλονότι τοῦ κόσμου ἀπαλλάττεται[3].

4. «Οἱ ἄφρονες[4] λέγουσι, χωρὶς εἶναι τὴν θεωρίαν καὶ τὴν » πρᾶξιν, οὐχὶ δ' οἱ σοφοί· κἂν γὰρ μίαν γέ τις ποιήσῃ » ἀραρότως, ἀμφοτέρων ἕξει τὸν καρπόν.

5. «Οἷαν γάρ τοι στάσιν[5] ἀπολαμβάνουσιν οἱ θεωρητικοί, τὴν » αὐτὴν δήπου γε καὶ οἱ πρακτικοί. Ὅς τις δὲ φρονεῖ, ὡς » ἕν τι ἐστιν[6] ἥ τε θεωρία καὶ ἡ πρᾶξις, οὗτος ὀρθῶς » φρονεῖ.

6. «Ἡ μέν τοι θεωρία ἄνευ τῆς πράξεως δύσκτητός ἐστιν· ὁ » δὲ πρακτικός, γινόμενος θεωρητικὸς[7], τυγχάνει ἀμέσως » τοῦ Θείου[8].

7. «Ὁ τοίνυν πρακτικός, ὁ τὴν θεωρίαν τέλος ἔχων, καὶ κα-» θαρὸς ὢν τὴν ψυχήν, καὶ νικητὴς τοῦ ἑαυτοῦ σώματος » καὶ τῶν αἰσθήσεων, καὶ νομίζων πάντας ὡς ἑαυτόν, εἰ » καὶ οὗτος πράττει[9], οὐ μολύνεται[10].

8. «Ὁ γὰρ θεωρητικός, καίπερ ἐνεργῶν, δηλονότι καὶ βλέ-» πων, καὶ ἀκούων, καὶ θίγων, καὶ ὀσφραινόμενος, καὶ » γευόμενος, καὶ περιπατῶν, καὶ κοιμώμενος, καὶ πνέων,

9. «Καὶ λαλῶν, καὶ τὰ περιττὰ ἐκκρίνων[11], καὶ κρατῶν,

---

1. Οὔτε λυπεῖται, οὔτε χαίρει.
2. Δηλ. θεωρητικός.
3. Οὐ μετασωματοῦται δηλ.
4. Νήπιοι (Δ. Γρ.).
5. Τουτέστιν ἀθανασίαν.
6. Ἕνα καρπὸν διδόασιν (Δ. Γρ.).
7. Καθαρὰν γὰρ ποιήσει τὴν καρδίαν αὐτοῦ διὰ τῆς πρακτικῆς ἀρετῆς.
8. Γινώσκει ἀμέσως τὸ θεῖον (Δ. Γρ.).
9. Εἰ καὶ τρώγει, καὶ πίνει, καὶ βλέπει, καὶ ἀκούει, κτλ.
10. Ἀλείφεται (αὐτολεξεί).
11. Οὐρῶν ἢ ἀποπατῶν.

» καὶ ἀνοίγων ἢ κλείων τοὺς ὀφθαλμούς [1], δοκεῖ ὅτι οὐ-
» δὲν αὐτὸς πράττει, ὡς τῶν αἰσθήσεων μὴ ἐξικνουμένων
» εἰς τὰ αἰσθητά.

10. «Ὃς οὖν τὰς μὲν πράξεις ἀνατίθησι τῷ Θεῷ, τὸν δὲ ἐξ
» αὐτῶν καρπὸν παραβλέπει, κἂν πράττῃ, οὐδαμῶς οὗ-
» τος μολύνεται τῇ πράξει [2], καθάπερ καὶ τὸ φύλλον τοῦ
» λωτοῦ [3] τῷ ὕδατι.

11. «Οἱ γὰρ πρακτικοὶ, ἀφέντες τὸν ἐκ τῶν πράξεων καρ-
» πὸν, πράττουσιν εἰς ἁγνισμὸν τῆς καρδίας αὐτῶν διὰ
» τοῦ σώματος [4], καὶ τῆς διανοίας, καὶ τοῦ νοῦ, καὶ τῶν
» αἰσθήσεων [5] ἁπλῶς.

12. «Ὁ μὲν οὖν ἀφορῶν εἰς Θεὸν [6], τὸν ἐκ τῶν πράξεων ἀφεὶς
» καρπὸν, ἀπάθειαν [7] ἀΐδιον [8] ἀπολαμβάνει [9]· ὁ δὲ μὴ
» ἀφορῶν [10] τῷ καρπῷ τῶν ἔργων, ἐκ τοῦ οὗ ἔργου ἐπι-
» θυμεῖ [11], δεσμεύεται ἐκ τούτου.

13. «Ὁ δ' ἐγκρατὴς ἑαυτοῦ [12], ἀφεὶς διὰ τῆς γνώσεως καὶ ὀρ-
» θῆς κρίσεως τὰ ἔργα πάντα, μένει εὔθυμος ἐν ἑαυτῷ, ὡς
» ἐν ἐννεαπύλῳ πόλει [13], μήτ' αὐτὸς πράττων, μήτ' ἄλ-
» λοις αἴτιος γινόμενος τοῦ πράττειν.

---

1. Καὶ ἀσκαρδαμυκτῶν καὶ καμμύων (Πρ. Γρ).
2. Τῇ ἁμαρτίᾳ.
3. Τὸ φύλλον τούτου τοῦ ἄνθους οὕτως ὀλισθηρὸν καὶ ἐλαιῶδές πως ἐστιν, ὥστε, καίπερ ὂν ἐν ὕδατι, μένει ἄβρεκτον καὶ ἄθικτον παντελῶς τῷ ὕδατι.
4. Λούεσθαι, λειτουργεῖν, θύειν, θεωρεῖν καὶ ἐννοεῖν τὸν Θεόν.
5. Ἀκούειν δηλ. περὶ Θεοῦ καὶ ψάλλειν τῷ Θεῷ.
6. Ὁ μὲν οὖν συνημμένος τῷ Θεῷ (Πρ. Γρ.).
7. Ἄνεσιν, λύτρωσιν (Δ. Γρ.).
8. Ἀμετάθετον (Πρ. Γρ.).
9. Μέχρι τοῦδε εἴρηκεν ὅ,τι δεῖ πράττειν εἰς ἁγνισμὸν τῆς καρδίας, καὶ εἰς παράδειγμα· νῦν δὲ λέγει περὶ τοῦ καθαρθέντος τὰ ἐντός.
10. Συνημμένος, προσκεχηνώς (Πρ. Γρ.).
11. Ἐκ τῆς ἐπιθυμίας, ἐκ τῆς ἧς ἔχει κλίσεως.
12. Ὁ θεωρητικός.
13. Ἐννεάθυρον λέγεται τὸ σῶμα, καθὸ ἐννέα ὀπὰς ἔχει, δύω μὲν ἐπὶ τῆς ὀσφρή-

14. «Ὁ Θεὸς οὐκ ἀποτελεῖ[1] τὴν ἐνέργειαν τῶν ἀνθρώπων[2], » οὔτε τῶν ἔργων, οὔτε τῆς ἀπολαύσεως τοῦ καρποῦ τῶν » ἔργων[3]· ἡ φύσις δ' εἰς ταῦτα ἐνεργεῖ[4].

15. «Ὁ γὰρ Θεὸς οὐκ ἀναδέχεται[5] οὐδενὸς τὴν ἁμαρτίαν, » οὐδὲ τὴν ἀρετήν· τῶν δὲ δοξαζόντων ἄλλως, ἡ γνῶσις » κεκαλυμμένη ἐστὶν ὑπ' ἀγνοίας, δι' ἧς ἀμβλυωποῦσιν[6].

16. «Ὧν δ' ἡ ἄγνοια ἐξηλείφθη διὰ τῆς θείας γνώσεως, τού- » των ἡ γνῶσις, ὡς ἥλιος[7], εἰς φῶς ἄγει τὴν θείαν φύ- » σιν[8].

17. «Οἱ δὲ φρονοῦντες ἐκεῖνον τὸν Θεόν, καὶ διανοούμενοι » ἐκεῖνον, καὶ ἐν ἐκείνῳ ὄντες στερεοὶ καὶ ἑδραῖοι[9] καὶ » καθαροὶ κηλίδων[10] διὰ τῆς γνώσεως, ἀθανασίας τυγ- » χάνουσι[11].

σεώς, δύω δ' ἐπὶ τῆς ὁράσεως, δύω δ' ἐπὶ τῆς ἀκοῆς, μίαν δ' ἐπὶ τοῦ στόματος μίαν δ' ἐπὶ τῆς εὑρήσεως, καὶ ἄλλην τῆς ἀποπατήσεως.

1. Οὐ γίνεται αἴτιος τῆς ἐνεργείας τῶν ἀνθρώπων (Δ. Γρ.).

2. Τοῦ ἀνθρώπου, τοῦ Κόσμου (Δ. Γρ.).

3. Ἵνα μὴ προτείνῃ τὸ τῆς Βέδας, ὅτι ὁ Θεὸς ὃν μὲν βούλεται ἄνω ἀγαγεῖν, αἴτιος αὐτῷ γίνεται καλῶν ἔργων, ὃν δὲ βούλεται καταγαγεῖν, κακῶν, διὰ τοῦτο λέγει, ὁ Θεὸς οὐκ ἀποτελεῖ, κτλ.

4. Ὅτι δ' εἰς τὸ ἀγαθὸν ἢ κακὸν ἐνεργεῖ ἡ φύσις, ἐνεργεῖ καὶ ὁ Θεός· διὰ δὲ τούτου τοῦ νοήματος εὐοδοῦται καὶ τὸ ῥητὸν τῆς Βέδας.—Ἑτέρα ἐξήγησις· ἡ φύσις τῶν ἀνθρώπων, ἢ παρακινεῖται ἐξ ἀγνοίας· ἡ ἄγνοια ταῦτα, ἐνεργεῖ ἢ ἡ κλίσις.

5. Οὐ γίνεται αἴτιος οὔτε καλοῦ, οὔτε κακοῦ ὁ Θεός· διὰ τοῦτο λέγει· ὁ Θεὸς οὐκ ἀναδέχεται οὔτε τὴν κακίαν, οὔτε τὴν ἀρετήν· οὔτε τῶν κακῶν παιδείας αἴτιος γίνεται, οὔτε τῶν ἀγαθῶν ἀνέσεως· ὁ Θεὸς δηλ. οὔτε ἀγαθὰ δίδωσιν, οὔτε κακά, ἀλλὰ τὰ ἔργα, αἱ πράξεις, δηλ. «κατὰ τὰ ἔργα αὐτῶν ἀκολουθεῖ καὶ ὁ καρπός.» Δόγμα δ' ἐστι τοῦτο τοῦ Ζαϊμινῆ, ποιητοῦ τῆς Μιμάσας.

6. Μωραίνουσιν (Δ. Γρ.).

7. Καθὼς ὁ ἥλιος διασκεδάσας τὸ σκότος ἐφώτισε τὰ πάντα.

8. Τὸν Θεόν· δηλ. γνωρίζει τὸν Θεόν, ὃν πρότερον, διὰ τὸ σκότος τῆς ἀγνοίας οὐκ ἐγίνωσκε.

9. Εἰς ἐκεῖνον ἐλπίζοντες (Δ. Γρ.).

10. Ἀπηλλαγμένοι παθῶν (Δ. Γρ.).

11. Ἀπαθεῖς γίνονται (Πρ. Γρ.).

18. «Θεόφρονες [1] δ' εἰσὶν οἱ θεωροῦντες ἐξ ἴσου τόν τε σοφὸν
» καὶ ἱλαρὸν Βραχμᾶνα, καὶ τὸν βοῦν καὶ τὸν ἐλέφαντα,
» καὶ τὸν κύνα, καὶ τὸν κυνοφάγον.

19. «Ὧν δὲ ἡ διάνοια μένει ἐν τῇ ἰσότητι, οὗτοι καὶ ζῶντες
» νενικήκασι τὸν κόσμον· τὸ γὰρ θεῖον ἁγνόν [2] ἐστι καὶ
» ἴσον· ὅθεν κἀκεῖνοι, ἁγνοὶ ὄντες καὶ ἴσοι, μένουσιν ἐν
» αὐτῷ [3].

20. «Ὁ τὰ θεῖα φρονῶν [4] καὶ μένων ἐν τῷ θείῳ, οὔτ' ἐφετῶν
» τυχὼν χαίρει, οὔτε μισητῶν λυπεῖται [5]· στερεόφρων
» γάρ ἐστι καὶ εὔφρων.

21. « Τὴν μὲν οὖν χαρὰν ἐν τῇ καρδίᾳ λαμβάνει [6] ὁ μὴ προ-
» σηλωμένος τοῖς ὑπὸ τὴν αἴσθησιν· ταύτην δ' ἀεννάως
» ἀπολαμβάνει ὁ ἡνωμένος τῷ Θεῷ διὰ τῆς θεωρίας.

22. «Ὅσαι γὰρ ἡδοναὶ γίνονται ἐκ τῶν αἰσθητῶν, λύπης πρό-
» ξενοί εἰσιν αὗται, ὡς ἔχουσαι ἀρχὴν καὶ τέλος· διὸ
» ταύταις ὁ ἐχέφρων οὐχ ἥδεται.

23. «Ὃς ἂν οὖν δύνηται ἐπέχειν τὴν ἐκ τῆς ἐπιθυμίας καὶ
» θυμοῦ ὁρμὴν, μέχρι τῆς τοῦ σώματος διαλύσεως [7], οὗ-
» τός ἐστιν ἀνὴρ θεόφρων, οὗτός ἐστιν εὔθυμος.

24. «Οὗ δ' ἡδονὴ ὁ Θεὸς, ἡ ἀγαλλίασις καὶ ἡ ἄνεσις [8] ὁ Θεὸς,
» καὶ ἡ θεωρία ὡσαύτως ὁ Θεός ἐστιν, οὗτός ἐστι θεό-
» φρων, καὶ γενόμενος θεῖος, ἑνοῦται τῷ θείῳ.

25. «Οἱ μὲν δὴ θεόφρονες, ἀποσμήξαντες τὰς κηλῖδας, καὶ
» διαῤῥήξαντες τὸ διπλοῦν τῆς γνώμης [9], καὶ ὑποτάξαν-

---

1. Ἐνταῦθα λέγει ὁποῖοί εἰσιν οἱ γνῶσιν ἔχοντες θείαν.
2. Καθαρόν ἐστι (Δ. Γρ.).
3. Ἀπολαμβάνουσι τῆς θεότητος, γίνονται θεῖοι.
4. Ὁ θεόφρων (Δ. Γρ.).
5. Δυσφορεῖ (Δ. Γρ.).
6. Χαρήσεται (Δ. Γρ.).
7. Ἐν τῇ ζωῇ, ὅτε ζῇ.
8. Ἡ τρυφή (Δ. Γρ.).
9. Τὴν ἀμφιβολίαν, τὴν ἄγνοιαν.

» τες τοὺς ἑαυτῶν λογισμοὺς [1], καὶ ἁπαξάπασι τοῖς ἐμ-
» ψύχοις τὸ ἔλεος ἔχοντες [2], ἀπολαμβάνουσι τῆς ἀθανα-
» σίας [3].

26. «Τοῖς γὰρ μὴ συνημμένοις τῇ ἐπιθυμίᾳ καὶ τῷ θυμῷ, καὶ
» ἀρνησαμένοις τὰ τοῦ κόσμου, καὶ τὸν λογισμὸν νική-
» σασι [4], καὶ θεῖα φρονοῦσι, σύνεστι τὸ θεῖον καὶ ζῶσι καὶ
» ἀποθανοῦσι.

27. «Ὅστις ἔξω ποιῶν [5] τὰ ἐξωτερικὰ αἰσθήματα [6], καὶ τὴν
» ὅρασιν ἔχων ἐν τῷ μεσοφρύῳ [7], καὶ ἐπέχων τὴν ἐκπνοὴν
» καὶ εἰσπνοήν [8],

28. «Ὑποτάττει τὰς αἰσθήσεις, καὶ τὴν διάνοιαν, καὶ τὸν νοῦν,
» καὶ φρονεῖ θεῖα, καὶ πόῤῥω ἐστὶν ἐπιθυμίας καὶ φόβου,
» καὶ θυμοῦ, οὗτος ἀπαθὴς ἀεὶ τυγχάνει ὤν [9].

29. «Ὁ δὲ γινώσκων ἐμὲ ἔφορον [10] τῆς τε θυσίας καὶ ἐγκρα-
» τείας, καὶ πάντων τῶν κόσμων μέγαν ἡγεμόνα, καὶ εὐ-
» μενῆ [11] πάντων τῶν ἐμψύχων, ἀθανασίας τυγχάνει [12].

---

1. Τὰ ἑαυτῶν πάθη (Δ. Γρ.).

2. Τὸ συμφέρον στέργοντες (Δ. Γρ.).

3. Ἑνοῦνται τῷ Θεῷ, ἀπολαμβάνουσι τὸ ἁπλοῦν θεῖον.

4. «Τοῖς γὰρ τὴν διάνοιαν ὑποτάξασι, καὶ τὸν Θεὸν ἐγνωκόσιν, ἐγγύς ἐστι τὸ μόνον θεῖον ἐν ἀμφοτέροις τοῖς βίοις» (Πρ. Γρ.).

5. Ἀποποιούμενος (Δ. Γρ.).

6. Οὐκ ἐντρυφᾷ δηλ. τοῖς ὑπὸ τὴν αἴσθησιν.

7. Τὸ ὄμμα μήτε κλείων ἵνα μὴ κλίνῃ εἰς ὕπνον, μήτε ἀνοίγων, ἵνα μὴ τοῖς αἰσθητοῖς ὑπείκῃ.

8. «Καὶ ἐξ ἴσου ποιῶν τὸν ἄνω καὶ κάτω ἀέρα, ὅς τις δίεισι διὰ τῶν μυκτήρων» (Πρ. Γρ.)· δηλ. ἐπέχων τὴν πνοήν, δηλ. τὴν εἰσπνοὴν καὶ ἐκπνοήν, ἵνα μὴ ἐξέρχηται σφοδρῶς, ἀλλ' ἠρέμα.

9. Τουτέστι καὶ ζῶν ἔτυχε τῆς ἀθανασίας.

10. Ὅτι εἰς ἐμὲ ἀναφέρεται δηλ.

11. Ἵλεω (Πρ. Γρ.) πάντων τῶν ἐμψύχων, τῶν ὄντων.

12. Ἀπάθειαν ἀπολαμβάνει (Δ. Γρ.).

ΚΕΦΑΛΑΙΟΝ ϛ'.

1. «Ὅστις μὴ ἀποβλέπων εἰς καρπὸν τῶν πράξεων, ποιεῖ τὸ
» πρακτέον [1], οὗτός ἐστι *Σαννεασὴς* [2] (ἀπράγμων) καὶ
» *Ἰογγὴς* (θεωρητικός), ἀλλ' οὐχ ὅστις οὔτε τῷ πυρὶ
» σπένδει [3], οὔτ' ἄλλο τι πράττει.

2. «Ἣν δὲ λέγουσι *Σαννεάσαν* (ἀπραγμοσύνην) [4] τῶν τοῦ
» κόσμου, ταύτην θεωρίαν γίνωσκε, ὦ Ἀρζούνα· οὐδεὶς
» γὰρ θεωρητικός ἐστιν, ὃς οὐκ ἠρνήσατο τὸν τῶν πρά-
» ξεων καρπόν [5].

3. «Τοῦ μὲν οὖν θεόφρονος, τοῦ ἐφιεμένου ἀναβῆναι εἰς θεω-
» ρίαν, ἡ πρᾶξις λέγεται αἰτία [6]· τοῦ δὲ ἀναβάντος εἰς
» θεωρίαν, ἡ ἀπραξία καὶ ἠρεμία αἰτία λέγεται τῆς στε-
» ρεᾶς θεωρίας [7].

4. «Ὅτε δὲ οὐ προσφύεται, οὔτε τοῖς ὑπὸ τὴν αἴσθησιν, οὔτε
» τοῖς ἐξ αὐτῶν ἀποτελέσμασι [8], καὶ ἀποβάλλει πάντα
» λογισμὸν τῆς καρδίας [9], καὶ ἀπέχει πάσης ἐπιθυμίας,
» τότε λέγεται, ὡς ἀνέβη εἰς θεωρίαν.

5 «Ἀνελκυστέον ἄρα ἐκ τοῦ βυθοῦ τούτου τοῦ κόσμου τὴν
» ψυχὴν διὰ τοῦ ὀρθοῦ λογισμοῦ [10], ἀλλὰ μὴ καταβυθι-

---

1. Θυσίαν θύει, ναὸν ἐγείρει καὶ ἄλλα ἀγαθὰ πράττει.
2. Σαννεασὴς λέγεται ὁ ἀρνησάμενος τὰ τοῦ κόσμου, καὶ μηδὲν αὐτὸς πράττων, μηδὲ πῦρ ὅλως ἅπτων εἰς τὸ ἑψῆσαί τι ἢ θῦσαι.
3. Πῦρ ἅπτει (Δ. Γρ.).
4. Ἄρνησιν τῶν τοῦ κόσμου (Δ. Γρ.).
5. Τὰ τῆς σαρκὸς θελήματα, τὸν τῶν πράξεων δηλ. καρπὸν, καθὸ ἐκ τῆς πράξεως ἡ καρδία καθαίρεται.
6. Τῆς ἀναβάσεως εἰς θεωρίαν δηλ.
7. Ἡ ἀπραξία, ἡ ἠρεμία, ἐν ᾗ ἡ θεοφροσύνη γίνεται.
8. Τῇ πράξει, τοῖς περὶ αὐτὰ ἔργοις καὶ πάσης δηλ. τῆς ἀπολαύσεως αὐτῶν.
9. Ἀπέχει πασῶν τῶν σαρκικῶν ἐπιθυμιῶν.
10. Διὰ τῆς ὀρθῆς κρίσεως (Δ. Γρ.).

» στέον αὐτήν· ἡ γὰρ θέλησις [1] καὶ φιλική ἐστι τῷ ἀνθρώ-
» πῳ [2] καὶ ἐχθρικὴ ὁμοίως [3].

6. «Φιλικὴ μέν ἐστι τῇ ψυχῇ ἐκείνου, ὑφ' οὗ τὰ πάθη ἐνική-
» θη [4], ἐχθρικὴ δὲ, ὑφ' οὗ οὐκ ἐνικήθη.

7. «Τοῦ δὲ ἐγκρατοῦς καὶ ἀπαθοῦς [5], καὶ ὁμοίου ὄντος ἔντε
» τῇ ψυχρότητι καὶ θερμότητι, καὶ εὐτυχίᾳ καὶ ἀτυχίᾳ [6],
» καὶ τιμῇ καὶ ἀτιμίᾳ, ὁ Θεὸς μένει ἐν τῇ καρδίᾳ.

8. «Ὁ δὲ πλήρης ὢν τὴν καρδίαν γνώσεως καὶ θεογνωσίας,
» καὶ ὁ ἀπαθὴς, καὶ ὁ νικητὴς τῶν αἰσθήσεων, καὶ ὁ ἐξ
» ἴσου θεωρῶν τήν τε βῶλον ἢ τὴν λίθον καὶ τὸν χρυσὸν,
» λέγεται θεόφρων καὶ θεωρητικός.

9. «Ἐξαίρετος δ' ἔστιν ὁ ἐξ ἴσου θεωρῶν τόν τε εὐμενῆ [7] καὶ
» δυσμενῆ, τόν τε φίλον καὶ ἐχθρὸν, τόν τε ἀδιάφορον [8] καὶ
» μεσίτην [9], τόν τε ἀλλότριον καὶ τὸν οἰκεῖον [10], τόν τε
» ἀγαθὸν καὶ τὸν κακόν.

10. «Ὁ θεωρητικὸς, ἰδιάζων καὶ μονάζων, καὶ νικητὴς ὢν τοῦ
» λογισμοῦ καὶ τοῦ σώματος, καὶ ἀνέραστος, καὶ ἀκτήμων,
» εἰς ἓν συναγέτω [11] τὴν διάνοιαν αὐτοῦ ἀδιαλείπτως.

11. «Ἐν δὲ καθαρῷ τόπῳ θεὶς τὸ στρῶμα αὐτὸς αὐτοῦ ἔμ-
» πεδον, μήτε λίαν ὑψοῦ, μήτε λίαν χαμαὶ, συνιστάμενον

---

1. Ἡ θέλησις καλή ἐστι καὶ κακὴ, ἡ εἰς τὰ καλὰ ἄγουσα καὶ εἰς τὰ κακά.

2. Τῇ ψυχῇ (Δ. Γρ.)

3. Ὅτε πρόσκειται τοῖς πάθεσι.

4. Φιλική μέν ἐστι τῇ ψυχῇ ἐκείνου, ὑφ' οὗ ἐνικήθη (ὑπετάγη ὁ λογισμὸς), ἐχθρικὴ δὲ, ὑφ' οὗ οὐχ ὑπετάγη.

5. Τοῦ νικήσαντος τὰ πάθη.

6. Καὶ χαρᾷ καὶ λύπῃ (Δ. Γρ.).

7. Φιλόφρονα (Δ. Γρ.).

8. Ὅς τις οὔτε εἰς τὸ ἓν μέρος, οὔτε εἰς θάτερον κλίνει δύω πολεμούντων.

9. Ὅς τις μεσιτεύει εἰς διαλλαγὴν δύω μαχομένων.

10. Τὸν συγγενῆ (Δ. Γρ.).

11. Συνάγει (Δ. Γρ.).

» κάτωθεν ἐκ πόας, ἢ ὄνομα *Κούσσα*, ἄνωθεν δ' ἐκ δέρ-
» ματος, ὑπὲρ δὲ τούτου ἐξ ὀθονίου[1],

12. «Καὶ καθίσας ἐν τούτῳ, καὶ εἰς ἕνα σκοπὸν τὴν ἑαυτοῦ
» διάνοιαν στήσας, νικητὴς ὢν τοῦ λογισμοῦ[2] καὶ τῆς
» τῶν αἰσθήσεων ἐνεργείας, θεωρίαν συντεινέτω[3] εἰς ἁγνι-
» σμὸν τῆς ἑαυτοῦ καρδίας.

13. «Ἔχων δὲ τὸ σῶμα, καὶ τὴν κεφαλὴν, καὶ τὸν τράχηλον ἶσα
» πάντη καὶ ἀκίνητα, καὶ ἀσάλευτα, καὶ ἐνατενίζων εἰς τὸ
» ἄκρον τῆς ῥινὸς αὐτοῦ[4], καὶ τῇ δε κἀκεῖσε μὴ βλέπων,

14. «Γαληνιαῖός τε ὢν τὴν καρδίαν καὶ ἄφοβος, καὶ μένων ἐν
» ἐγκρατείᾳ καὶ σωφροσύνῃ, καὶ κρατῶν τοῦ λογισμοῦ,
» καὶ τὸν νοῦν[5] αὐτοῦ ἔχων ἐν ἐμοὶ προσεκτικῶς, διαμε-
» νέτω ἀφορῶν ὡς ἐμέ.

15. «Οὕτως οὖν συντείνας ὁ θεωρητικὸς τὴν διάνοιαν ἀδιαλεί-
» πτως, τουτέστι νικητὴς ὢν τῶν παθῶν, ἀπολαμβάνει
» ἄκραν ἄνεσιν, ἥ ἐστιν ἡ ἀθανασία.

16. «Θεωρία οὐ γίνεται τῷ πολλὰ φαγόντι ἢ τῷ πάντῃ ἀσί-
» τῳ[6], οὐδὲ τῷ φύσει πολυύπνῳ ἢ λίαν ἀγρύπνῳ.

17. «Θεωρία δὲ, ἥ ἐστι πάσης ὀδύνης ἀπαλλακτικὴ, γίνεται
» τῷ μετρίως ἐσθίοντι, καὶ μετρίως περιπατοῦντι, καὶ
» μετρίως χρωμένῳ ἅπασι τοῖς ἔργοις[7], καὶ μετρίως ὑ-
» πνοῦντι, καὶ μετρίως γρηγοροῦντι.

18. «Ὅτε δὲ ἡ διάνοια, ὑποταγεῖσα[8], μένει ἀκλόνητος ἐν τῷ

---

1. Ἐκ δέρματος ἐλάφου ἢ παρδάλεως.
2. Διανοίας (Δ. Γρ.).
3. Συντείνει (Πρ. Γρ.).
4. Ἔχων δηλ. ἡμίκλειστα τὰ ὄμματα.
5. Τὴν διάνοιαν (Δ. Γρ.).
6. Θεωρία οὐ γίνεται ἐκ τῆς πολυσιτίας, πολυφαγίας, οὐδ' ἐκ τῆς παντελοῦς ἀσιτίας (Πρ. Γρ.).
7. Τῷ μετρίως διάγοντι ἐν ἅπασι τοῖς ἔργοις (Πρ. Γρ.).
8. Καθαρὰ οὖσα (Πρ. Γρ.).

» Θεῷ, τότε ὁ ἄνθρωπος, ἀνόρεκτος ὢν πάντων τῶν νομι-
» ζομένων ἐφετῶν[1], λέγεται θεωρητικός.

19. «Καθὼς γὰρ τοῦ λύχνου τιθεμένου ἐν τόπῳ νηνεμίας, οὐ
» διαῤῥέει τὸ φῶς τῇδε κἀκεῖσε, οὕτως ἔχει καὶ ἐπὶ τοῦ
» θεωρητικοῦ, τοῦ ὑποτάξαντος τὴν διάνοιαν, καὶ θεωρίαν
» ποιοῦντος μόνου τοῦ Θεοῦ.

20. «Ὅτε ἡ διάνοια[2] ὑποταγεῖσα ἐκ τῆς εἰς θεωρίαν ἀσκή-
» σεως[3] ἠρεμεῖ, καὶ ὅτε ὁ ἄνθρωπος, νοερῶς βλέπων τὸν
» Θεόν, τέρπεται ἐν αὐτῷ[4],

21. «Καὶ ὃς αἰσθάνεται ἡδονῆς ἀδιαλείπτου[5], τῷ νῷ δὲ μό-
» νῳ ληπτῆς[6], ἐν ᾗ θεωρία ἵσταται, οὐκ ἀφίσταται τοῦ
» οὗ θεωρεῖ[7],

22. «Οὐδὲ νομίζει[8] ἄλλο τι κρεῖττον τοῦ οὗ ἔτυχε[9], καὶ ἐν
» ᾗ στάσει τῆς πρὸς τὸν Θεὸν θεωρίας ἵσταται, οὐ με-
» θίσταται[10], κἂν λίαν πάσχῃ[11],

23. «Τότε γίνωσκε, ὅτι θεωρία ἐστὶν ἀληθής, ὡς οὖσα ἀμέ-
» τοχος τῶν ὑπὸ τὴν αἴσθησιν δεινῶν[12]. Τοιαύτην θεω-
» ρίαν δεῖ γυμνάζεσθαι βεβαίως μετὰ προθυμίας καὶ πί-
» στεως[13].

24. «Ἀφεὶς δὲ τὰς ἐπιθυμίας ἀπαξαπάσας, τὰς ἐκ τῆς δια-

---

1. Ἀνόρεκτος πάντων τῶν ἐπιθυμιῶν (Πρ. Γρ.), τῶν ἐφετῶν τούτου τοῦ κόσμου καὶ τοῦ ἑτέρου δηλ.

2. Ἔνθα δ' ἡ διάνοια, ἢ οὐχ οὕτως ἡ διάνοια (Δ. Γρ.).

3. Ἐκ τῆς εἰς τὴν θεωρίαν γυμνάσεως (τῇ ἀσκήσει, ἔθει, συνηθείᾳ) (Δ. Γρ.).

4. Καὶ οὐχὶ ἐν τοῖς ὑπὸ τὴν αἴσθησιν.

5. Ἀῤῥήτου, ἀνεκλαλήτου (Δ. Γρ.).

6. Καταληπτῆς (Πρ. Γρ.).

7. Ὅ,τι δηλ. θεωρεῖ, οὐκ ἀπέχει ἐκείνου, ἤτοι τῆς πρὸς τὸν Θεὸν θεωρίας.

8. Οὐδὲ βούλεται ἄλλο τι πλέον τοῦ οὗ ἔτυχε (Δ. Γρ.).

9. Δηλ. τοῦ Θεοῦ, τῆς πρὸς τὸν Θεὸν θεωρίας.

10. Καὶ τῆς θεωρίας ἐν ᾗ ἵσταται οὐ μεθίσταται (Δ. Γρ.).

11. Κἂν λίαν πάσχῃ ψύχει ἢ καύματι.

12. Ὡς ἀποβάλλουσα τὰ ὑπὸ τὴν αἴσθησιν δεινά (Πρ. Γρ.).

13. Τοιαύτη θεωρία δικαία ἐστὶ γίνεσθαι βεβαίως καὶ προθύμως κτλ. (Πρ. Γρ.).

» νοίας γινομένας, καὶ κρίσει ὀρθῇ ὑποτάξας παντάπασι
» τὸν ὄχλον[1] τῶν αἰσθήσεων,

25. «Κατ' ὀλίγον[2] ἀπεχέτω τῶν ὑπὸ τὴν αἴσθησιν καρτερικῷ
» τῷ νοΐ. Στηρίξας δὲ τὴν διάνοιαν αὐτοῦ ἐν τῷ Θεῷ,
» μηδενὸς ἄλλου ἔτι φροντιζέτω.

26. «Εἰς ὅ,τι γὰρ ἐξικνεῖται ἡ διάνοια, ταχεῖα οὖσα καὶ ἄ-
» στατος, ἐκ τούτου ἀπείρξας αὐτὴν, συντεινέτω εἰς θεω-
» ρίαν τοῦ Θεοῦ.

27. «Ἡδονὴ δὲ ἄκρα[3] προσγίνεται τῷ τοιούτῳ θεωρητικῷ,
» ἠρέμῳ ὄντι τὴν διάνοιαν[4], καὶ ἀπαθεῖ, καὶ θεοειδεῖ,
» καὶ ἀκηλιδώτῳ.

28. «Οὕτως οὖν ὁ θεωρητικὸς, ὑποτάττων τὴν διάνοιαν
» αὐτοῦ εἰς θεωρίαν, ἀμέτοχος ὢν πάσης κηλῖδος, εὐμα-
» ρῶς τρυφᾷ αὐτῆς τῆς ἄκρας καὶ θείας ἡδονῆς[5].

29. «Ὁ δὲ συνημμένον ἔχων τὸν νοῦν τῇ θεωρίᾳ, καὶ θεωρῶν
» ἐν ἅπασι τὸν Θεὸν, θεωρεῖ ἑαυτὸν ἐν πᾶσι τοῖς οὖσι,
» καὶ πάντα τὰ ὄντα ἐν ἑαυτῷ[6].

30. «Ὅςτις γὰρ βλέπει ἐμὲ ἐν τῷ παντὶ, καὶ τὸ πᾶν ἐν ἐμοὶ,
» οὔτ' ἐγὼ ἀόρατός[7] εἰμι τούτῳ, οὔθ' οὗτος ἐμοί.

31. «Ὅςτις δὲ λατρεύει ἐμοὶ, θεωρῶν ἀδιστάκτως, ὡς ἐν ἅ-

---

1. Τὸ πλῆθος (Δ. Γρ.).

2. Τῇ συνηθείᾳ, τῇ γυμνάσει (Δ. Γρ.).

3. Χαρὰ δὲ μεγάλη (Πρ. Γρ.).

4. Ἥσυχῳ ὄντι τῇ καρδίᾳ, καὶ χαλιναγωγῷ τῶν παθῶν, καὶ θείῳ τῇ οὐσίᾳ, καὶ εὐαγεῖ (Πρ. Γρ.).

5. Οὕτως οὖν ὁ θεωρητικὸς, εἰς ἓν συναγαγὼν τὴν διάνοιαν αὐτοῦ (συνάπτων ἑαυτὸν ἀεὶ τῷ Θεῷ), καὶ ἀμέτοχος ὢν πάσης κηλῖδος, τυγχάνει θείας καὶ ὑπερτελείου ἡδονῆς (Πρ. Γρ.).

6. Οὐδεμίαν διαφορὰν βλέπει ἑαυτοῦ τε καὶ τῶν ἄλλων.

7. Ἀφανὴς, ἀγνώς εἰμι (Δ. Γρ.).—Ἐντεῦθεν ἄρχεται τῆς λατρείας.

» πᾶσι τοῖς οὖσιν εἰμί, οὗτος, εἰ καὶ παντὶ ἔργῳ πρόσ-
» κειται[1], ἐν ἐμοί ἐστιν[2].

32. «Ὅστις δὲ ὥσπερ ἐν ἑαυτῷ[3], οὕτω καὶ ἐν ἄλλοις βλέπει
» τὸ καλὸν ἢ κακὸν[4], οὗτος παρ' ἐμοὶ θεωρεῖται ὁ ἔξο-
» χος θεωρητικός.»

ΑΡΖΟΥΝΑΣ.

33. «Ἣς λέγεις θεωρίας, ὁμοίας πρὸς πάντας, ἐγὼ οὐ βλέπω
» στάσιν στερεὰν[5], διὰ τὸ ἄστατον τῆς διανοίας.

34. «Ἡ γὰρ διάνοια ἄστατός ἐστι[6] καὶ ἐμπαγὴς ἐν τοῖς ὑπὸ
» τὴν αἴσθησιν· ὅθεν δύσκολον ἐγὼ νομίζω τὴν κάθεξιν αὐ-
» τῆς, καθὰ καὶ τοῦ ἀέρος.»

ΚΡΙΣΝΑΣ.

35. «Ἡ διάνοια ἀναμφιβόλως δυσκάθεκτός ἐστι, καθὸ ἄστα-
» τος· καθεκτὴ δ' ὅμως καθίσταται τῇ τε μελέτῃ, καὶ
» τῇ τῶν παθῶν χαλιναγωγίᾳ[7].

36. «Οὐ μὴν ἀλλὰ καὶ ἡ θεωρία δύσκτητός ἐστιν, ὡς οἶμαι,
» τῷ μὴ χαλιναγωγήσαντι τὴν διάνοιαν· τῷ δὲ χαλινα-
» γωγήσαντι αὐτὴν, καὶ τρόπους χρωμένῳ τοῖς προσή-
» κουσιν, εὔκτητός ἐστιν[8].

---

1. Τουτέστιν εἰ καὶ τρώγει, καὶ πίνει, καὶ συγκάθηται ἁμαρτωλοῖς.
2. Ὡς ἐγώ εἰμι ἐν τῷ παντὶ, καὶ τὸ πᾶν ἐν ἐμοὶ, ἀθάνατος δηλ. μένει.
3. Ὃ θέλει ὑπὲρ ἑαυτοῦ, τοῦτο καὶ ὑπὲρ τῶν ἄλλων, ὃ αὐτὸς μισεῖ, ἑτέρῳ οὐ ποιεῖ.
4. Καθὼς ἐν ἑαυτῷ τὸ μὲν καλὸν εὐκταῖον, τὸ δὲ κακὸν ἀπευκταῖον, οὕτω καὶ ἐν τοῖς λοιποῖς.
5. Διὰ μακροῦ τοῦ χρόνου γινομένην ἀδιαπτώτως· δηλ. οὐ δύναται τοιοῦτος γενέσθαι.
6. Ταρακτικὴ τῶν αἰσθήσεων, ἰσχυρά (αὐτολ.).
7. Τῇ τε συνηθείᾳ καὶ τῶν ὑπὸ τὴν αἴσθησιν καταφρονήσει (Πρ. Γρ.).
8. Δυνατὴ κτηθῆναι (Δ. Γρ.).

ΑΡΖΟΥΝΑΣ.

37. «Ὅςτις δ', ὦ Κρισνᾶ, πρόθυμος ἦν εἰς θεωρίαν, κἄπειτα » ἀκρατὴς γενόμενος, ἐξέπεσεν αὐτῆς, μὴ τυχὼν τῆς τε- » λειότητος [1], ὁποίας στάσεως τυγχάνει [2];

38. «Τί οὖν; ἆρα ὁ τοιοῦτος, ἐκπεσὼν τῶν στάσεων ἀμφο- » τέρων [3], καὶ εἰς ἀπόγνωσιν ἐμπεσὼν διόλλυται, ὡς ἐκ- » τραπεὶς τῆς θείας ὁδοῦ [4], ὡς τὸ ἀποτετμημένον νέφος;

39. «Σὺ γὰρ ἱκανὸς εἶ διαλύσαι μου ἐξ ὁλοκλήρου τὴν ἀπο- » ρίαν ταύτην καὶ οὐχὶ ἕτερος».

ΚΡΙΣΝΑΣ.

40. «Οὔτ' ἐν τῷ παρόντι, οὔτ' ἐν τῷ μέλλοντι βίῳ [5] κακόν » τι τούτῳ τῷ ἐκπεσόντι τῆς θεωρίας γίνεται [6]. οὐδεὶς » γὰρ, ὦ τὰν, ἀγαθὰ πράξας [7] κακῆς τυγχάνει στάσεως [8].

41. «Ὁ οὖν ἐκπεσὼν τῆς θεωρίας, τυχὼν τῆς τῶν δικαίων χώ- » ρας, καὶ μείνας ἐν πολλοῖς ἔτεσι [9], γεννᾶται ἐν οἰκίᾳ » ἀγαθῶν καὶ ὀλβίων,

42. «Ἢ γεννᾶται ἐν οἰκίᾳ θεωρητικῶν καὶ σοφῶν· ἡ δὲ τοιαύ- » τη γέννησις ἐν τῷ κόσμῳ τούτῳ μᾶλλον δύσκτητός ἐστι.

43. «Ἐν ταύτῃ τῇ παλιγγενεσίᾳ λαμβάνει εἰς μνήμην τὴν » θεωρίαν, τὴν γεγενημένην ἐν τῷ προτέρῳ σώματι, καὶ » μετὰ ταῦτα χρῆται τρόποις εἰς κτῆσιν τῆς ἀπαθείας·

---

1. Τῆς θείας γνώσεως.
2. Ποῖ πορεύεται;
3. Δηλ. μήτε τοῦ οὐρανοῦ τυχὼν, διότι ἅπαντα, ὡς θεωρητικὸς, διὰ τὸν Θεὸν ἐποίει, μήτε τοῦ Θεοῦ τυχὼν, διότι ἐξέκλινεν ἐκ τῆς θεωρίας.
4. Θεωρίας.
5. Δηλ. κἀνταῦθα ἅπαντες τοῦτον τιμῶσι, καὶ μετὰ θάνατον ἀνάπαυσιν ἔχει.
6. Οὔτ' ἐνταῦθα οὔτ' ἐκεῖ ἀπώλεια τούτου γίνεται (Πρ. Γρ.).
7. Ἀγαθοεργὸς ὢν (Πρ. Γρ.).
8. Εἰς τὸν ᾅδην πορεύεται.
9. Ὅς τις διὰ πολλοῦ χρόνου ποιήσας θεωρίαν ἐξέπεσε.

44. «Ὑπὸ γὰρ τῆς πρώτης ἐκείνης συνηθείας ἐφέλκεται πάλιν[1] » εἰς θεωρίαν ἀναγκαίως. Ὁ μὲν οὖν φιλῶν κτήσασθαι τὴν » θεωρίαν, εἰ καὶ ἀποτύχοι αὐτῆς, παραβλέπει τὰ τῆς » Βέδας[2].

45. «Ὁ γὰρ συνεχῶς τε καὶ ἐπιμελῶς χρώμενος τῇ θεωρίᾳ, » καθαρὸς ὢν ἁμαρτιῶν, καὶ μετὰ πολλὰς γεννήσεις γενό- » μενος τέλειος, ἀπολαμβάνει τὴν ἀθανασίαν.

46. «Ὁ τοίνυν θεωρητικὸς ἀνώτερος κρίνεται πάντων ἐν ἀσκή- » σει καὶ παιδείᾳ, καὶ πάσῃ πράξει τῶν τοῦ νόμου· ὅθεν » γενοῦ θεωρητικός.

47. «Πάντων γὰρ τῶν ἐν πάσῃ ἐγκρατείᾳ καὶ ἀρετῇ, ὅστις » θεωρεῖ ἐμὲ ὅλῃ ψυχῇ, καὶ ἐλπίζει εἰς ἐμέ, οὗτος παρ' » ἐμοὶ κρίνεται ὁ ἄριστος πάντων τῶν πᾶσαν ἄλλην ἀρετὴν » πραττόντων[3].

ΚΕΦΑΛΑΙΟΝ Ζ΄.

1. «Προσάπτων δὲ τὸν νοῦν[4] ἐμοί, καὶ ἐλπίζων εἰς ἐμέ, » ὅπως γνώσῃ με ὁλοτελῆ, ἀνενδοιάστως ἄκουσον.

---

1. Ἀπὸ τῶν ὑπὸ τὴν αἴσθησιν.

2. Ὁ θεωρητικὸς, καὶ ἐκπεσὼν τῆς θεωρίας, παραβλέπει τὰ τῆς Βέδας, ἔνθα λέγει περὶ θυσίας τε καὶ περὶ ἄλλης πράξεως.

3. Ἐν τοῖς ἓξ κεφαλαίοις εἴρηκε πῶς δεῖ εἶναι τὸν θεωρητικὸν, ἐν δὲ τοῖς ἑξῆς ἓξ κεφαλαίοις ἐρεῖ, οἷός ἐστιν ὁ Θεός. Εἰς τρία μέρη διαιρεῖται ἡ Βέδα, τὸ μὲν διαλαμβάνει περὶ πρακτικῆς ἀρετῆς, τὸ δὲ περὶ θεωρητικῆς, τὸ δὲ περὶ ἀθανασίας· εἰς αὐτὰ ταῦτα ἀφορᾷ καὶ ἡ Γιτὰ, ἥτις διαιρεῖται εἰς τρία μέρη. Καὶ τὸ μὲν πρῶτον ἐμπεριέχεται ἐν τοῖς ἓξ κεφαλαίοις τοῖς ῥηθεῖσι· τὸ δὲ δεύτερον ἐν τοῖς ἓξ τοῖς ῥηθησομένοις· τὸ δὲ τρίτον ἐν τοῖς λοιποῖς ἕξ. Μαχὰ Βὰκ ἐν τῇ Βέδᾳ λέγεται τὸ, Τὰτ Τβὰμ Ἀσεὶ, Σὺ εἶ ἐκεῖνο τὸ Ὄν. Τοῦτον τὸν μέγαν λόγον ἐμπεριέχει καὶ ἡ Γιτὰ ἐν τοῖς ΙΗ΄ Κεφαλαίοις· καὶ τὸ μὲν Τβὰμ ἐμπεριέχεται ἐν τοῖς ἓξ κεφαλαίοις, τὸ δὲ Τὰτ ἐν τοῖς ἑξῆς ἕξ, τὸ δὲ Ἀσεὶ ἐν τοῖς ἑξῆς ἕξ.

4. Προσάπτων τὴν καρδίαν κτλ. (Πρ. Γρ.).

2. «Ἐγὼ γὰρ ἐρῶ σοι ταύτην τὴν θείαν γνῶσιν ἀνελλειπῶς, ἣν
» γνόντι, οὐδὲν ἄλλο ἔτι ἐλλειπὲς ἔσται σοι τῶν γνω-
» στέων [1].

3. «Ἐκ τῶν χιλίων [2] ἀνθρώπων εἷς τις τρόποις χρῆται εἰς
» κτῆσιν γνώσεως θείας καὶ τελειότητος, καὶ ἐκ τῶν κτη-
» σαμένων τὴν θείαν γνῶσιν καὶ τελειότητα εἷς τις οὐ-
» σιωδῶς γινώσκει με· διὰ τοῦτο ἐγὼ λέξω σοι τὴν θεο-
» γνωσίαν.

4. «Ὀκταειδὴς μὲν οὖν ἐστιν ἡ ἐμὴ οὐσία διῃρημένη· ἡ γῆ,
» τὸ ὕδωρ, τὸ πῦρ, ὁ ἀὴρ, ὁ αἰθὴρ, ἡ διάνοια, ὁ νοῦς, καὶ
» ἡ οἴησις [3].

5. «Ἀλλ' αὐτὴ μὲν ἡ ἐμὴ οὐσία ἥττων ἐστί· ἄλλην δὲ ταύ-
» της κρείττω γίνωσκε, τὴν ζωτικὴν ψυχὴν, δι' ἧς τὸ
» πᾶν τοῦτο συνέχεται.

6. «Αὕτη δὲ ἡ ὀκταειδὴς ὑλικὴ οὐσία καὶ ἡ ψυχὴ, γεννη-
» τικά καὶ συστατικά εἰσι μόρια πάντων τῶν ὄντων· παν-
» τὸς δὲ τοῦ κόσμου ἐγώ εἰμι ἡ γένεσις καὶ ἡ φθορὰ,
» τουτέστι τῶν αἰτιατῶν ἐγώ εἰμι ἡ κυρία αἰτία [4].

7. «Οὐδὲν δ' ἕτερον ποιητικὸν αἴτιον ἀνώτερόν ἐστιν ἐμοῦ·
» τοῦτο δὲ τὸ πᾶν ἐμοὶ συνέχεται, ὡς ὁ ἐκ μαργάρων
» ὁρμαθὸς τῷ νήματι.

8. «Τοῦ ὕδατος ἡ γευστικὴ δύναμις [5] ἐγώ εἰμι· τῆς Σελή-
» νης καὶ τοῦ Ἡλίου ἡ φωτιστικὴ δύναμις [6] ἐγώ εἰμι·
» πασῶν τῶν Βεδῶν [7] τὸ Ὄμ ἐγώ εἰμι· καὶ ἐν τῷ αἰ-

---

1. Ὃν δεῖ γνωσθῆναι (Δ. Γρ.).
2. Ἐκ τῶν πολλῶν ἀνθρώπων (Δ. Γρ.).
3. Ἡ φαντασία (Δ. Γρ.).
4. Τουτέστι παντὸς ὑλικοῦ αἰτίου καὶ ὀργανικοῦ ἐγώ εἰμι τὸ ποιητικὸν αἴτιον, ἡ αἰτία τῆς γενέσεως.
5. Ἡ γεῦσις (Δ. Γρ.).
6. Τὸ φῶς (Δ. Γρ.).
7. Τῶν ἐν ταῖς Βέδαις προφερομένων λόγων.

» θέρι ἡ φωνητικὴ δύναμις[1], καὶ ἡ ἐν ἀνθρώποις ἐνέρ-
» γεια[2],

9. «Καὶ ἡ ἐν γῇ ὀσφραντικὴ δύναμις[3], καὶ ἡ ἐν πυρὶ θερ-
» μὴ λαμπρότης, καὶ ἡ ἐν πᾶσι τοῖς ζῶσι ζωὴ, καὶ ἡ
» τῶν ἐγκρατῶν καὶ ἀπαθῶν[4] ἐγκράτεια καὶ ἀπάθεια
» ἐγώ εἰμι.

10. «Ἐμὲ γίνωσκε αἴδιον[5] σπόρον πάντων τῶν ὄντων[6]·
» τῶν συνετῶν ἐγώ εἰμι ἡ σύνεσις, καὶ τῶν θαῤῥαλέων τὸ
» θάῤῥος[7].

11. «Ἐγώ εἰμι τῶν ἰσχυρῶν ἡ ἰσχὺς, ἡ ἄνευ ἐπιθυμίας κα-
» κῶν[8] καὶ πλεονεξίας[9], καὶ ὁ ἐν ἀνθρώποις ἔνθερμος
» ἔρως[10].

12. «Ὅσαι διαθέσεις ἴδιαι τῆς *Σάτβας*[11] εἰσὶ καὶ τῆς *Ῥάγας*[12]
» καὶ τῆς *Τάμας*[13], ταύτας γίνωσκε ἐξ ἐμοῦ[14] γεγονυίας·

---

1. Ὁ ἦχος (Δ. Γρ.).

2. Ἐργόχειρον (Δ. Γρ.).

3. Ἡ ὀσμὴ, εὐωδία (Δ. Γρ.).

4. Τῶν ἀσκητῶν ἡ ἄσκησις (Δ. Γρ.).

5. Ἀδιάλειπτον (Δ. Γρ.).

6. Ἡ φυσικὴ δύναμις πάντων τῶν ὄντων, τῶν συνισταμένων ἐκ τῆς ἥττονος οὐσίας, τῆς ὕλης, καὶ ἐκ τῆς κρείττονος, τῆς ψυχῆς. Οὐσία λέγεται ἥ τε ψυχὴ καὶ ἡ ὕλη.—Ἰδιότητες τῶν πέντε στοιχείων· τοῦ μὲν ὕδατος ἡ γεῦσις (ἡ γευστικὴ δύναμις)· τοῦ δὲ πυρὸς τὸ φῶς (ἡ φωτιστικὴ δύναμις)· τῆς γῆς ἡ ὀσμή (ὀσφραντικὴ δύναμις)· τοῦ δὲ ἀέρος ἡ θίξις (ἡ θικτικὴ δύναμις)· τοῦ δὲ αἰθέρος ὁ ἦχος (ἡ φωνητικὴ δύναμις).

7. Τῶν θρασέων τὸ θράσος (Δ. Γρ.).

8. Ἡ ἐπὶ δικαίου ἰσχὺς καὶ δύναμις.

9. Ἡ ἔφεσις εἰς τὸ αἰτήσασθαι ὅπερ οὐκ ἔχει, καὶ ἀφ' οὗ κτήσηται, εἰς τὸ κτήσασθαι πλέον.

10. Ὁ πρὸς τὴν γυναῖκα ἔρως εἰς τὸ τεκνογονῆσαι.

11. Ἡ πραότης, ἡ ἐγκράτεια, ἡ ἀπάθεια καὶ γαλήνη τῆς ψυχῆς.

12. Ἡ χαρὰ καὶ ἡ οἴησις.

13. Ἡ ἀνία καὶ ἄγνοια.

14. Ἐκ τῆς ἐμῆς δυνάμεως.

» ἀλλ' ἐγὼ μὲν οὐκ εἰμὶ ἐν ἐκείναις [1], ἐκεῖναι δ' ἐν ἐμοί.

13. »Ταύταις οὖν ταῖς ἰδιότησι τῶν τριῶν ποιοτήτων (ἰδιο-
» τήτων) ἅπας ὁ Κόσμος οὗτος μωραίνει, καὶ διὰ τοῦτο
» οὐκ οἶδεν ἐμὲ ἀμέτοχον τούτων καὶ ἀπαθῆ [2].

14. «Αὕτη μὲν οὖν ἡ θαυμαστὴ ποιά μου ὕλη [3] δυσαπάλ-
» λακτός ἐστιν· ἀπαλλάττονται δ' αὐτῆς οἱ πρὸς ἐμὲ κα-
» ταφεύγοντες [4].

15. «Οἱ κακοῦργοι, ὡς ἀνόητοι καὶ οὐτιδανοί, οὐ καταφεύγου-
» σι πρὸς ἐμέ [5]· οὗτοι γὰρ ἐσυλήθησαν τὸν νοῦν ὑπὸ τῆς
» ὕλης, καὶ προσεκολλήθησαν δαιμονικοῖς πάθεσι [6].

16. «Τετραειδεῖς εἰσιν οἱ ἀγαθοὶ τῶν ἀνθρώπων, οἳ λατρεύου-
» σί μοι [7]· ὁ ὢν ἐν δεινοῖς [8], ὁ ἐφιέμενος θείας γνώσεως,
» ὁ ἐφιέμενος κτημάτων [9], καὶ ὁ θεόφρων [10].

17. «Τούτων δ' ὁ θεόφρων, ὡς συνὼν [11] ἐμοί, καὶ μόνον ἐμὲ
» λατρεύων [12], ἄριστός ἐστι· παμπόθητος γὰρ ἐγὼ τῷ
» θεόφρονι, κἀκεῖνος ἐμοί.

18. «Οὗτοι μὲν δὴ ἅπαντες οἱ λατρεύοντές με ἀγαθοί [13] εἰσιν·

---

1. Οὐκ εἰμὶ ὑποκείμενος ἐκείναις.

2. Εἰ οὖν τοιοῦτος, διὰ τί οἱ ἄνθρωποι οὐ γινώσκουσί σε;

3. Αὕτη μὲν οὖν ἡ θεία καὶ ποιά μου ὕλη (Πρ. Γρ.)· τουτέστιν ἡ ἐμὴ δύναμις.

4. Οἱ θεραπεύοντες, λατρεύοντές μοι, τουτέστιν οἱ γινώσκοντές με.

5. Οὐ λατρεύουσί μοι.

6. Ἰδιώμασι (Δ. Γρ.), ὀργῇ, ἐπιθυμίᾳ, πλεονεξίᾳ καὶ παντὶ εἴδει κακίας.

7. Θεραπεύουσί με (Δ. Γρ.).

8. Ὁ πάσχων (Δ. Γρ.).

9. Υἱοῦ, ἢ οὐρανοῦ.

10. Ὁ θεωρητικός.

11. Ὁ προστετηκὼς ἐμοί, ὁ συνὼν ἐμοὶ ἀεὶ τῇ θεωρίᾳ.

12. Θεραπεύων, σεβόμενος.

13. Μεγαλόφρονες (Δ. Γρ.).

» ὁ δὲ θεόφρων θεῖος[1]· οὗτος γὰρ, προσέχων τὸν νοῦν
» ἐμοὶ[2], τυγχάνει τῆς ὑπερτάτης δόξης.

19. «Ἐν γὰρ πολλαῖς γεννήσεσι θεραπεύων ἐμὲ, γινώσκει, ὡς
» ἐγὼ εἰμι τὸ πᾶν· τοιοῦτος δὲ μεγαλόφρων δυσεύρετός
» ἐστιν.

20. «Οἱ συληθέντες τὸν νοῦν ὑπὸ διαφόρων ἐπιθυμιῶν[3], ἄλ-
» λους θεοὺς (κατωτέρους) λατρεύουσι[4], ποιοῦντες ἀεὶ δια-
» φόρους τρόπους λατρείας[5], κατὰ τὴν ἔφεσιν καὶ κλίσιν
» ἑαυτῶν.

21. «Ὅςτις δὲ πίστει καὶ προθυμίᾳ ἐφίεται λατρεύειν τὸν ὃν
» βούλεται Θεὸν, τούτου τὴν πίστιν καὶ προθυμίαν ποιῶ
» ἐγὼ ἀκλόνητον[6].

22. «Συνὼν δὲ τοιαύτῃ πίστει καὶ προθυμίᾳ, θεραπεύει ἐκεῖ-
» νον τὸν Θεὸν, καὶ ἐξ ἐκείνου τυγχάνει τῶν ὧν ἐπιθυ-
» μεῖ, ἃ ὑπ' ἐμοῦ ἐποιήθη[7].

23. «Ἀλλὰ τῶν τοιούτων ὀλιγονόων τὸ κέρδος τέλος ἔχει[8]·
» οἱ μὲν γὰρ θεραπεύοντες τοὺς θεοὺς, τῶν θεῶν τυγχά-
» νουσιν[9]· οἱ δὲ θεραπεύοντες ἐμὲ, ἐμοῦ[10].

---

1. Ἄλλος ἐγώ (Δ. Γρ.).

2. Ἀφορᾷ εἰς τὴν ἐμὴν ὑπερτάτην δόξαν, καθὸ οὐδὲν τῶν τοῦ κόσμου θέλει, ἀλλ' ἐμὲ μόνον.

3. Ἄλλος μὲν θέλων υἱὸν, ἄλλος πλοῦτον, ἄλλος δὲ φήμην καὶ ἄλλος νίκην κατ' ἐχθροῦ.

4. Θεραπεύουσι (Δ. Γρ.).

5. Διάφορα γὰρ τὰ εἴδη τῆς λατρείας· ἄλλος μὲν γὰρ νηστεύει, ἄλλος δὲ προσφέρει ἄνθη, ἄλλος δὲ λούεται.

6. Ἀμετάθετον, ὡς ὢν ἐν ἅπασι.

7. Δηλ. παρ' ἐμοῦ ἐποιήθη.

8. Καθὸ αἰτοῦσι παιδοποιΐαν, ἢ πλοῦτον, ἢ ἄλλο τι, ἃ τέλος ἔχει.

9. Τυγχάνουσι τῶν θεῶν, οἳ τέλος ἔχουσι· τῶν ἐν οὐρανῷ ἀγαθῶν, ἃ τέλος ἔχει.

10. Τυγχάνει τῆς παρ' ἐμοὶ ἀθανασίας. Ἵνα μὴ εἴπῃ ὅτι, ὁποία ἐστὶν ἡ αὐτουσία καὶ ὁ μισθὸς λίαν διάφορος, διὰ τί οἱ ἄνθρωποι οὐ λατρεύουσί σοι, διὰ τοῦτο ἐπιφέρει· οἱ ἄφρονες κτλ.

24. «Οἱ ἄφρονες οἴονται ἐμὲ τὸν ἀόρατον ὁρατὸν[1], ἀγνοοῦν-
» τες τὴν θείαν μου φύσιν καὶ οὐσίαν, τὴν ἀναλλοίωτον
» καὶ ὑπερτάτην.

25. «Ἐγὼ γὰρ οὐδέσι γίνομαι ἐμφανὴς, ὧν ὑπὸ τὴν ὕλην, ὡς
« ὑπὸ παραπέτασμα· ὁ δ' ἀνόητος οὗτος Κόσμος οὐκ οἶ-
» δεν ἐμὲ ἀγέννητον καὶ ἀμετάτρεπον[2].

26. «Ἐγὼ μὲν πάντα οἶδα, τά τε παρῳχημένα, καὶ τὰ ἐνε-
» στῶτα, καὶ τὰ μέλλοντα· οὐδεὶς δ' ὅμως ἐμὲ οἶδε.

27. «Ἅπαντες μὲν γὰρ[3], φιλόσαρκοι ὄντες, καὶ μωραίνοντες
» ἐπὶ τοῖς φύσει ἐναντίοις, ἅ ἐστιν ἡ ἔφεσις καὶ τὸ μῖ-
» σος, ἡ χαρὰ καὶ ἡ λύπη, ἐκπλήττονται[4] ἐπὶ τούτοις,
» καὶ διὰ τοῦτο ἀγνοοῦσί με.

28. «Ὧν δ' ἀγαθοεργῶν ἡ ἁμαρτία ἐκ μέσου ἤρθη, οὗτοι ἀτε-
» νῶς σέβονταί με[5], ἀπηλλαγμένοι (καθὸ γενναῖοι) τῆς
» ἐπ' ἀγαθοῖς καὶ κακοῖς ἀνοίας καὶ ἐκπλήξεως.

29. «Ὅσοι δ' ἐλπίζοντες ἐπ' ἐμοὶ, ποιοῦνται τρόπον, ὅπως ἀ-
» παλλαγήσωνται τῆς τε γεννήσεως καὶ φθορᾶς[6], οὗτοι
» οἴδασι τί ἐστι Βράχμα, καὶ Ἀδδεάτμαμ, καὶ Κάρμα[7].

30. «Ὅσοι δὲ γινώσκουσιν, ὡς ἐγώ εἰμι Ἀδδειβούταμ καὶ Ἀδ-
» δειδάϊβαμ, καὶ Ἀδδειγέγνα[8], οὗτοι προσέχοντές μοι τὸν
» νοῦν, ἀναπολοῦσί με ἐν ὥρᾳ θανάτου[9].»

---

1. ὅτι ἔλαβον ἐνανθρωπήσεις καὶ ἐνσαρκώσεις ἐν ἰχθύος καὶ χελώνης μορφῇ.

2. Ἀμετάβλητον (Δ. Γρ.).

3. Ἐνταῦθα λέγει τὴν αἰτίαν τῆς πρὸς τὸν Θεὸν ἀγνοίας.

4. Τουτέστι εὐτυχοῦντες καὶ δυστυχοῦντες ἐκπλήττονται, ὡς μηδενὸς οὕτως ὄντος.

4. Ἀτενῶς λατρεύουσί με (Δ. Γρ.).

5. ὅτι διὰ τῆς πράξεως καθαίρεται ἡ ψυχὴ, καὶ γινώσκει, ὅτι ἡ ψυχὴ ἑτέρα ἐστὶ τοῦ σώματος, καὶ ἐκ τούτου φρονῶν θεῖα, τυγχάνει τοῦ θείου.

6. Περὶ τούτων ἐρεῖ μετέπειτα εἰς ἐξήγησιν.

8. Ἐμὲ ἑνόντα τῷ Ἀδδειβούταμ καὶ Ἀδδάϊβαμ καὶ Ἀδδειγέγναμ (Πρ. Γρ.).

9. Τὸν νοῦν οὐ ταράττονται κἂν τῇ ὥρᾳ τοῦ θανάτου, ἀλλὰ καὶ τότε ἐμὲ ἔχουσι.

ΚΕΦΑΛΑΙΟΝ Η΄.

ΑΡΖΟΥΝΑΣ.

1. «Ποῖον λέγεται Βράχμα; καὶ ποῖον Ἀδδεάτμαμ; καὶ
» ποῖον Κάρμα; καὶ ποῖον Ἀδδειββούταμ; καὶ ποῖον
» Ἀδδειδάϊβαμ;

2. «Τί δὲ Ἀδδειγέγνα [1]; καὶ πῶς ἐν ὥρᾳ θανάτου, ὦ ὑπερ-
» άνθρωπε, γνωστὸς γίνῃ τοῖς ἐγκρατέσι τῶν παθῶν; »

ΚΡΙΣΝΑΣ.

3. «Βράχμα μὲν λέγεται τὸ ἄφθαρτον θεῖον· Ἀδδεάτμαμ [2] δὲ
» ἡ ζωτικὴ ψυχή· Κάρμα δὲ ἡ θυσία, ἐξ ἧς ἀναφύονται
» καὶ ζωογονοῦνται τὰ ὄντα·

4. «Ἀδδειββούταμ δὲ ἡ φθαρτὴ οὐσία, Ἀδδειδάϊββαμ δὲ ἡ
» ψυχὴ τοῦ παντός, Ἀδδειγέγνα δέ, ἐγὼ ἐν πᾶσι τοῖς
» σώμασιν [3].

5. «Ὅστις δ' ἐν ὥρᾳ θανάτου ἐνθυμούμενός με, ἀφεὶς τὸ σῶ-
» μα ἀπέρχεται, οὗτος τυγχάνει ἐμοῦ χωρίς τινος ἀμ-
» φιβολίας [4].

6. «Ὅ,τι γὰρ ἐνθυμεῖταί τις ἐν ὥρᾳ θανάτου, οἷον ἂν ᾖ τὴν
» φύσιν, τούτου οὗτος τυγχάνει, ἐγκαταλιπὼν τὸ σῶμα,
» ἐπειδὴ τούτῳ ἦν ἐγκείμενος ἀεὶ τῇ διανοίᾳ [5].

7. «Ταῦτ' ἄρα διὰ παντὸς τοῦ χρόνου ἐμὲ διανοοῦ καὶ ποίει

---

1. Ἀδδειγέγνα λέγεται ὁ ἔφορος τῆς θυσίας, ὁ μισθοδότης.

2. Ἄτμα ἐνταῦθα τὸ σῶμα ἐννοεῖται· τὸ κείμενον φέρει (Ἰνδ. λέξιν), ἥπερ ἐξηγεῖται ψυχή.

3. Καθ' ὃ ὁ Θεὸς πανταχοῦ ἐστιν, ἔστιν ἄρα καὶ ἐν τοῖς σώμασι πάντων.

4. Οὗτος σύνεστιν ἐμοί, ἔρχεται εἰς τὴν οὐσίαν, εἰς τὴν φύσιν μου, οὐκ ἔστιν ἐνταῦθα ἀμφιβολία (Πρ. Γρ.).

5. Διὰ τοῦτο κᾂν τῇ ὥρᾳ τοῦ θανάτου ἐν νῷ ἔχει, ἐπειδὴ ἀείποτε τοῦτο πρότερον ἐν νῷ εἶχε.

» τὸ οἰκεῖον χρέος [1]· ἀφοσιώσας γὰρ ἐμοὶ τὴν διάνοιαν [2]
» καὶ τὸν νοῦν, τεύξῃ ἐμοῦ ἀναμφιβόλως.

8. «Ἀναπωλῶν γὰρ τῇ διηνεκεῖ καὶ ἐντενεῖ μελέτῃ ἐκ καρ-
» δίας τὸ λαμπρὸν καὶ ὑπέρτατον θεῖον, τυγχάνει τούτου.

9. «Ὅςτις διὰ μνήμης ἔχει τὸν Θεὸν, τὸν παντογνώστην, τὸν
» ἄναρχον, τὸν κυβερνήτην, τῶν ἀτόμων τὸ ἀτομώτατον,
» τὸν τοῦ παντὸς τροφέα [3] καὶ ποιητὴν, τὸν ἀκατανόη-
» τον τὴν φύσιν [4], τὸν ἡλιοειδῆ [5], τὸν ἀνώτερον τῆς ὕλης,

10. «Οὗτος θεὶς τὴν πνοὴν [6] αὐτοῦ ἀσφαλῶς ἐν μεσοφρύῳ [7],
» περὶ τὴν ὥραν τοῦ θανάτου σταθερᾷ διανοίᾳ, καὶ ἐπι-
» μόνῳ εὐσεβείᾳ καὶ εὐλαβείᾳ, ἀπολαμβάνει ἐκεῖνο τὸ
» ὑπέρτατον καὶ ὑπέρλαμπρον θεῖον.

11. «Ὃν δὲ ὅρον [8] ἄφθαρτον λέγουσιν οἱ θεολόγοι, καὶ πρὸς
» ὃν ἔρχονται οἱ ἐγκρατεῖς καὶ ἀπαθεῖς, καὶ οὗ ἐφιέμενοι
» ζῶσιν ἐν παρθενίᾳ καὶ σκληραγωγίᾳ [9], τοῦτον ἐγὼ λέ-
» ξω σοι ἐν συνόψει [10].

12. «Ὅςτις ὑποτάξας [11] τὰς αἰσθήσεις πάσας τοῦ σώματος,

---

1. Ποίει τὸ σαυτοῦ χρέος, ὅ ἐστιν ὁ πόλεμος, πολέμει δηλ.

2. Καρδίαν (Πρ. Γρ.).

3. Τῶν πάντων κηδεμόνα (Δ. Γρ.).

4. Τῇ οὐσίᾳ (Δ. Γρ.).

5. Καὶ ἑαυτὸν φωτίζει, καὶ τὸ πᾶν, ὡς ὁ ἥλιος.

6. Τὸ πνεῦμα (Δ. Γρ.).

7. Τοῦτο ἴδιον τῶν θεωρητικῶν τῶν ἐγκρατῶν τῆς πνοῆς, ἣν ἐξάγουσιν ὅτε θέλουσιν, ὡς λέγουσι. — Ἐν τῷ χωρίῳ τούτῳ ὁ μεταφραστὴς σημειόνει Ἰνδ. λέξιν, ἣν ἐξηγεῖ: «μία φλὲψ διήκουσα ἀπὸ τοῦ ὀμφαλοῦ μέχρι τοῦ βρέγματος, δι' ἧς τὸ πνεῦμα ἐξέρχεται.»

8. Δηλ. τὸν Θεόν.

9. Γυμνάζονται (ἐν τῷ οἴκῳ τοῦ διδασκάλου) τὴν τῆς Βέδας παιδείαν καὶ φιλοσοφίαν.

10. Τὸν τρόπον δηλ. τῆς ἐντεύξεως τοῦ τοιούτου τόπου καὶ ὅρου, τοῦ Θεοῦ.

11. Ὅς τις νεκρώσας τὰς αἰσθήσεις πάσας, δηλ. ἀνενεργήτους ποιήσας πάσας τὰς αἰσθήσεις, μηδὲν τῶν ἔξω, τῶν ὑπὸ τὴν αἴσθησιν, διανοούμενος, ὅς τις

» καὶ καθείρξας τὴν διάνοιαν αὐτοῦ ἐν τῷ στέρνει, καὶ στή-
» σας [1] τὴν πνοὴν αὐτοῦ ἐν τῷ βρέγματι, καὶ θεωρίᾳ
» χρώμενος,

13. «Καὶ μυστικῶς λέγων τὸ μονοσύλλαβον Ὄμ, ὅ ἐστι τὸ
» θεῖον, καὶ ἀναπολῶν ἐμὲ, ἀπέρχεται, ἀφεὶς τὸ σῶμα,
» οὗτος ἔρχεται εἰς τὴν ἐμὴν ἄκραν χώραν.

14. «Ὅστις γὰρ μηδέν τι ἄλλο διανοούμενος, ἐμὲ ἀναπολεῖ
» συνεχῶς καὶ ἀδιαλείπτως, τῷ τοιούτῳ θεόφρονι καὶ θεω-
» ρητικῷ ἐγὼ εὐέντευκτος γίνομαι [2].

15. «Οἱ γὰρ θεόφρονες [3], φθάσαντες εἰς ἐντελῆ θεογνωσίαν [4],
» καὶ τυχόντες ἐμοῦ, οὐκ ἐκδέχονται ἔτι παλιγγενεσίαν,
» τὴν οὖσαν δοχεῖον τῶν ὀδυνῶν, καὶ πρόσκαιρον.

16. «Πάντες μὲν γὰρ οἱ ἐν οὐρανῷ καὶ ἐν γῇ [5] πάλιν καὶ πολ-
» λάκις γεννῶνται καὶ μετασωματοῦνται· τοῖς δὲ τυχοῦ-
» σιν ἐμοῦ οὐκ ἔτι παλιγγενεσία γίνεται.

17. «Καθὼς δὲ τὴν ἡμέραν τοῦ Βραχμᾶ λογίζονται [6] οἱ χρο-
» νολόγοι μετὰ παρέλευσιν χιλίων αἰώνων, οὕτω καὶ τὴν
» νύκτα αὐτοῦ μετροῦσιν ἐκ χιλίων τετρακτύων αἰώνων [7].

18. «Ἐρχομένης μὲν οὖν τῆς ἡμέρας τοῦ Βραχμᾶ πάντα τὰ

κλείσας πάσας τὰς θύρας τοῦ σώματος ,(τὴν εἰς τὰ ἔξω ἐνέργειαν τῶν αἰσθήσεων) κτλ. (Πρ. Γρ.).

1. Περιορίσας (Δ. Γρ.).
2. Εὔληπτος, εὔκτητος.
3. Οἱ εὐσεβεῖς, οἱ σεβόμενοί με.
4. Ἀθανασίαν (Δ. Γρ.).
5. Οἵ τε θεοὶ καὶ οἱ ἄνθρωποι· ἐνταῦθα δεικνύει, ὡς μόνον τὸ θεῖον ἀτελεύτητον· οἱ δὲ θεοὶ καὶ αὐτὸς ὁ Βραχμᾶς τέλος ἔχουσι.
6. Μετροῦσι, γινώσκουσιν οἱ θεολόγοι τὸ τέλος χιλίων αἰώνων (Πρ. Γρ.).
7. Ἐκ χιλίων τετρακοσίων αἰώνων (ὅπερ ἐστιν ἓν ἡμερονύκτιον τοῦ Βραχμᾶ). Τῶν μὲν λοιπῶν θεῶν τὸ ἡμερονύκτιον μετρεῖται μετὰ παρέλευσιν ἑνὸς ἔτους ἀνθρωπείου· τοῦ δὲ Βραχμᾶ μετὰ παρέλευσιν χιλίων τετρακοσίων αἰώνων, ἐξ ἀνάγκης τῶν ἔργων. Τὸ ἑξάμηνον τῶν θερινῶν τροπῶν ἡμέρα ἐστὶ τῶν λοιπῶν θεῶν· τὸ ἑξάμηνον τῶν χειμερινῶν νύξ· ἤτοι οἱ ἓξ μῆνες τῶν θερινῶν τροπῶν ἡ ἡμέρα, οἱ δὲ ἓξ τῶν χειμερινῶν ἡ νύξ.

» όντα[1] συντίθεται έκ τῆς πρωτογόνου ὕλης[2]· ἀρχομένης
» δὲ τῆς νυκτὸς διαλύονται εἰς τὸ, ὅπερ εἶπον, ἀόρατον.

19. «Τὸ δὲ σύστημα τῶν ὄντων, ὅπερ ἦν πάλαι, τοῦτό ἐστι
» καὶ νυνί· συντιθέμενον[3] γὰρ πᾶν διαλύεται, καὶ πά-
» λιν οὕτω καὶ πολλάκις ἐξ ἀνάγκης συμβαίνοντος τοῦ
» Βραχμανικοῦ ἡμερονυκτίου.

20. «Ὅ,τι δὲ ἄλλο ἀόρατον καὶ προαιώνιον, καὶ ἄναρχον καὶ
» ἀνώτερόν ἐστιν ἐκείνου τοῦ ἀοράτου ὄντος[4], αὐτὸ οὐ
» φθείρεται, πάντων τῶν ὄντων φθειρομένων[5].

21. «Τὸ μὲν γὰρ ὑπὲρ αἴσθησιν (ἀόρατον) λέγεται ἄφθαρτον·
» ἄφθαρτον δὲ λέγουσιν οἱ θεολόγοι τὸ ἄκρον τέρμα[6]· ᾧ
» δ' ἐντυχόντες οἱ ἄνθρωποι οὐ μετασωματοῦνται[7], τοῦτό
» ἐστιν ἡ ἐμὴ ὑπερτάτη οὐσία.

22. «Ἐκεῖνο δὲ τὸ ὑπέρτατον ὄν, ἐν ᾧ τὰ πάντα, καὶ δι' οὗ
» τὸ πᾶν τοῦτο συνέχεται, κτητόν ἐστι διὰ τῆς ἀτενοῦς
» θεωρίας[8].

23. «Ἐν οἵῳ δὲ χρόνῳ[9] ἀποθανόντες, οἱ μὲν πρακτικοὶ ἔρχον-
» ται πάλιν εἰς τοῦτον τὸν κόσμον, οἱ δὲ θεωρητικοὶ οὔ,
» καὶ τοῦτον ἐγὼ ἐρῶ σοι[10].

24. «Οἱ μὲν θεόφρονες, ἀποθανόντες ἐν καιρῷ πυρὸς καὶ φω-

---

1. Πάντα τὰ ὁρατὰ γίνονται ἐκ τοῦ ἀοράτου (Πρ. Γρ.).
2. Ὅπερ ἐστὶν ἡ ἀρχικὴ ὕλη.
3. Γινόμενον (Δ. Γρ.).
4. Ἐκείνης τῆς ὑπὲρ αἴσθησιν οὐσίας.
5. Ἥτις δὲ οὐσία ὑπὲρ αἴσθησίν ἐστι καὶ ἄναρχος, καὶ ἀνωτέρα τῆς ὑλικῆς οὐσίας, δηλ. τὸ θεῖον (Δ. Γρ.).
6. Τὸν ἔσχατον ὅρον (ἔνθα δεῖ ἀφικέσθαι) τὸν ἄμοιρον περιορισμοῦ καὶ φθορᾶς.
7. Οὐκ ἀναστρέφουσι (Δ. Δρ.).
8. Ἀτενοῦς λατρείας (Δ. Γρ.).
9. Τουτέστιν ἐν ποίᾳ ὁδῷ πορευόμενοι.
10. Διὰ ποίας δὲ ὁδοῦ οἱ πορευόμενοι μετὰ θάνατον, οἱ μὲν πρακτικοὶ ἔρχονται πάλιν εἰς τοῦτον τὸν κόσμον, οἱ δὲ θεωρητικοὶ οὔ, καὶ ταύτην ἐγὼ ἐρῶ σοι (Πρ. Γρ.).

» τός[1], ἡμέρας οὔσης δηλονότι, καὶ πληρουμένης τῆς » Σελήνης, καὶ ἐν τῷ ἑξαμήνῳ τῶν θερινῶν τροπῶν, πο- » ρεύονται εἰς τὸ θεῖον[2].

25. «Ἐν δὲ καιρῷ σκότους[3], νυκτὸς οὔσης, καὶ μειουμένης » τῆς Σελήνης, καὶ ἐν τῷ ἑξαμήνῳ τῶν χειμερινῶν τρο- » πῶν, θανὼν ὁ πρακτικός, πάλιν ἔρχεται εἰς τοῦτον τὸν » κόσμον, τυχὼν τοῦ σεληνιαίου φωτός[4].

26. «Οὕτως οὖν δοξάζεται, ὡς τὸ φῶς καὶ τὸ σκότος δύω » ὁδοί εἰσιν ἀεὶ τῶν ἐν τῷ κόσμῳ, ἡ μὲν φωτεινή, ἡ δὲ » σκοτεινή· καὶ διὰ μὲν τῆς φωτεινῆς πορευόμενος ὁ θεω- » ρητικός, οὐκ ἐπανέρχεται εἰς τὸν κόσμον· διὰ δὲ τῆς » σκοτεινῆς πορευόμενος ὁ πρακτικὸς πάλιν ἔρχεται.

27. «Ταύτας τὰς δύω ὁδοὺς γινώσκων ὁ θεωρητικὸς οὐ μω- » ραίνει[5]· ὅθεν ἐν παντὶ καιρῷ πρόσκεισο τῇ θεωρίᾳ.

28. «Ὅ,τι κέρδος ἀρετῆς ἐῤῥέθη ἐν ταῖς γραφαῖς, τῷ γινώσκον- » τι τὴν Βέδαν, καὶ τῷ θύοντι, καὶ τῷ ἐγκρατευομένῳ, » καὶ τῷ δωρουμένῳ, τούτου πλέον ἔχει ὁ θεωρητικός.

---

1. Τουτέστιν οἱ μὲν θεόφρονες πορευόμενοι ἐν ὁδῷ, ἔνθα ἐστὶν ὁ Θεός, ὁ ἔφορος τοῦ φωτὸς κτλ.

2. Ἡ Βέδα λέγει, ὅτι δύω ὁδοί εἰσι μετὰ θάνατον, ἡ μὲν τοῦ φωτός, ἡ δὲ τοῦ καπνοῦ, δηλ. τοῦ σκότους· καὶ διὰ μὲν τῆς φωτεινῆς ὁδοῦ πορεύονται εἰς τὸν Βισνοῦν οἱ θεόφρονες καὶ θεωρητικοί, διὰ δὲ τῆς σκοτεινῆς οἱ πρακτικοὶ εἰς τὴν χώραν τοῦ Ἴνδρα· καὶ ἐν ἐκείνῃ μὲν τῇ ὁδῷ λάμπει ὁ ἥλιος, ἐν ταύτῃ δὲ ἡ σελήνη, ἡ ἀμυδρῶς λάμπει.

3. Ἐν δὲ τῇ ὁδῷ, ἔνθα ἐστιν ὁ Θεός, ὁ ἔφορος τοῦ σκότους (Πρ. Γρ.).

4. Δηλ. τυχὼν τοῦ οὐρανοῦ, καὶ τρυφήσας, πάλιν ἔρχεται εἰς τὸν κόσμον τοῦτον. Διὰ μὲν τῆς ὁδοῦ ἔνθα εἰσὶν οἱ θεοί, οἱ ἔφοροι τοῦ πυρός, τοῦ φωτός, τῆς ἡμέρας καὶ τῆς πληρουμένης σελήνης, καὶ τοῦ ἑξαμήνου τῶν θερινῶν τροπῶν πορευόμενοι οἱ θεωρητικοὶ ἔρχονται πρὸς τὸ θεῖον· διὰ δὲ τῆς ὁδοῦ, ἔνθα εἰσὶν οἱ θεοί, οἱ ἔφοροι τοῦ καπνοῦ, τῆς νυκτός, τῆς μειουμένης σελήνης, καὶ τοῦ ἑξαμήνου τῶν χειμερινῶν τροπῶν, πορευόμενοι οἱ πρακτικοί, πάλιν ἔρχονται εἰς τοῦτον τὸν κόσμον, ἀφοῦ τύχωσι τοῦ σεληναίου φωτός.

5. Οὐ προσφύεται τῇ πράξει, εἰς ἀπόλαυσιν οὐρανοῦ, ἀλλὰ τῇ θεωρίᾳ, εἰς ἀπόλαυσιν Θεοῦ.

«Ὁ εἰδὼς γὰρ ταῦτα πάντα, ἃ εἶπον, ἀπολαμβάνει τὴν » ὑπερτάτην καὶ ἀρχαίαν στάσιν [1].

ΚΕΦΑΛΑΙΟΝ Θ΄.

1. «Ἐγὼ δὲ λέξω σοὶ τῷ μὴ ψέγοντι τὰ καλὰ τοῦτο τὸ » μυστικώτατον, τὴν θεογνωσίαν καὶ ὀρθὴν λατρείαν, ἣν » γνοὺς ἀπαλλαγήσῃ τοῦ κόσμου [2].

2. «Αὕτη ἡ θεογνωσία βασιλίς ἐστι τῶν μαθήσεων, καὶ τῶν » μυστηρίων, καὶ λίαν καθαρτικὴ καὶ ἀριδήλως ὠφέλι- » μος [3] καὶ νόμιμος [4], καὶ εὐέργαστος καὶ ἀδιάφθορος [5].

3. «Οἱ δὲ μὴ ἔχοντες πίστιν εἰς ταύτην τὴν ἀρετὴν τῆς » θεογνωσίας [6], μὴ τυχόντες ἐμοῦ, ἐπανέρχονται εἰς τὴν » ὁδὸν τοῦ θανατηφόρου κόσμου.

4. «Τοῦτο τὸ πᾶν ἐμοὶ συνέχεται, τῷ ἀκαταλήπτῳ τὴν οὐ- » σίαν, καὶ πάντα μὲν τὰ ὄντα ἐν ἐμοί εἰσιν [7], ἐγὼ δ᾽ οὐκ » εἰμὶ ἐν τούτοις [8].

5. «Ἀλλ᾽ οὐδὲ τὰ ὄντα ἐν ἐμοί εἰσιν [9]. Ἰδὲ τὴν ἐμὴν ὑπερ- » φυᾶ δύναμιν [10]· ἡ μὲν φύσις μου συνέχει καὶ κυβερνᾷ » τὰ ὄντα, οὐκ ἔστι δὲ ἐν τοῖς οὖσι [11].

---

1. Ἀρχαίαν χώραν, στάσιν (βαθμὸν) (Δ. Γρ.), τὴν δόξαν δηλ. ἤτοι τὸν τόπον τοῦ Θεοῦ.

2. Τοῦ δεινοῦ ἢ τῶν δεινῶν.

3. Ἐπικερδής (Δ. Γρ.)

4. Θεμιτή (ὅλη ἀρετή).

5. Ἀμετάβλητος (Π. Γρ.), καθ᾽ ὃ ὁ καρπὸς αὐτῆς ἄφθορός ἐστι.

6. Οἱ δὲ μὴ ὄντες πρόθυμοι ἐν ταύτῃ τῇ ἀρετῇ τῆς θεογνωσίας (Π. Γρ.).

7. Καθὸ ἐγώ εἰμι τὸ ποιητικὸν αἴτιον πάντων.

8. Τουτέστιν ἀπαθής εἰμι καὶ ἀσχημάτιστος, ὡς ὁ χοῦς ἐν τῇ στάμνῳ.

9. Οὐ συνάπτονταί μοι, δηλονότι οὐδεμίαν συνάφειαν τούτοις ἔχω· καθότι ἐκεῖνα μὲν ὑλικά, ἐγὼ δ᾽ ἄϋλος.

10. Τουτέστι τὰ ἐμὰ ἀκατανόητα καὶ ἄῤῥητα.

11. Διότι οὐκ ἔχω οἴησιν καὶ φαντασίαν, ὅτι ἐγὼ ἐποίησα ταῦτα, καὶ διότι οὐ πρόσκειμαι τούτοις.

6. «Καθὼς γὰρ ὁ μέγας ἀὴρ μένων ἀεὶ ἐν τῷ κενῷ, παν-
» ταχῇ διαθέει[1], οὕτω πάντα τὰ ὄντα ἐν ἐμοί εἰσιν[2].
» Οὕτω φρόνει[3].

7. «Πάντα δὲ τὰ ὄντα ἔρχονται[4] εἰς τὴν ἐμὴν ὕλην ἐν τῷ
» τέλει τῆς κοσμογονίας, καὶ πάλιν[5] ἐν ἀρχῇ τῆς κο-
» σμογονίας ἐγὼ ποιῶ αὐτὰ κατὰ μέρος.

8. «Ἐκ τῆς ἐμαυτοῦ δὲ ὕλης ποιῶ κατὰ μέρος[6] καὶ πολλά-
» κις τοῦτο τὸ ὅλον σύστημα τῶν ὄντων, κατὰ τὴν πρώ-
» την αὐτῶν ἐκείνην φύσιν.

9. «Ταῦτα δὲ τὰ πολυειδῆ ποιήματα οὐ προσδέουσί με, ἐ-
» πειδὴ οὐ πρόσκειμαι τούτοις, ὡς ἀδιάφορος[7].

10. «Ἡ ὕλη δι' ἐμοῦ τοῦ ἐπιστάτου καὶ αἰτίου γεννᾷ τοῦτο
» τὸ πᾶν, κινητὸν ὁμοῦ καὶ ἀκίνητον· τοιαύτῃ οὖν ἐπι-
» στασίᾳ[8] ὁ κόσμος πολλάκις γίνεται.

11. «Οἱ ὄντες ἄφρονες καταφρονοῦσί μου[9], ὡς λαβόντος σῶ-
» μα ἀνθρώπειον, μὴ εἰδότες τὴν θείαν μου οὐσίαν, τὴν
» μεγάλην ἡγεμόνα[10] τῶν ὄντων.

---

1. Δηλ. οὐ προσφύεται τῷ κενῷ, τῷ αἰθέρι οὐ συνάπτεται. Ὁ αἰθήρ ἐστιν ὁ Θεός· ὁ δὲ ἀὴρ τὸ Πᾶν.

2. Ἐντεῦθεν ἀποδεικνύει, ὅτι τὰ ὄντα οὐδεμίαν συνάφειαν ἔχει τῷ Θεῷ.— Δηλ. οὐδεμίαν συνάφειαν ἐμοὶ ἔχουσι, καθὼς καὶ ὁ ἀὴρ οὐδεμίαν συνάφειαν τῷ κενῷ ἔχει· ὁ μὲν ἀὴρ, ὡς προείρηται, ἀναφέρεται εἰς τὸ Πᾶν, τὸ δὲ κενὸν εἰς τὸν Θεόν.

3. Οὕτω γίνωσκε (Δ. Γρ.).

4. Ἀναλύονται (Δ. Γρ.).

5. Καὶ αὖθις καὶ πολλάκις (Δ. Γρ.).

6. Κατὰ τὰ ἔργα αὐτῶν καὶ κατὰ τὴν φύσιν, ἄλλα μὲν ὑμενογενῆ, ἄλλα δ' ὑδρογενῆ, ἄλλα δ' ᾠογενῆ, καὶ ἄλλα γηγενῆ.

7. Ἐνταῦθα λέγει τὴν αἰτίαν πῶς οὐ πρόσκειται τοῖς ἔργοις. — Οὐ ποιοῦσί με ἐμπαθῆ δηλ. ἀλλ' ἐν παρέργῳ ταῦτα ποιῶ· οὐ σπουδάζων, ἀλλὰ παίζων ταῦτα ποιῶ.

8. Διὰ τῆς ἐμῆς ἐπιστασίας δηλ.

9. Ἵνα μὴ εἴπῃ τις, σοῦ ὄντος τοιούτου Θεοῦ, πῶς καταφρονοῦσί σου τινές; διὰ τοῦτο λέγει· νομίζοντές με ὡς ἄνθρωπον, κτλ.

10. Ἀρχηγέτιν (Δ. Γρ.).

12. «Οἱ δὲ τοιοῦτοι ὅ,τι ἐλπίζουσι καὶ ὅ,τι πράττουσι, μάταιόν ἐστι· ματαιόφρονες γάρ εἰσι καὶ ἄφρονες [1], καὶ φύσιν ἔχουσι δαιμονιώδη καὶ ἐμπαθῆ καὶ παρανοητικήν [2].

13. «Οἱ δὲ μεγαλόφρονες καὶ ἔμφρονες, οἱ ἔχοντες φύσιν θείαν καὶ ἀπαθῆ, σέβονταί με [3], μηδενὶ ἄλλῳ τὸν νοῦν προσέχοντες, καὶ γινώσκοντές με ἀρχὴν καὶ αἰτίαν τῶν ὄντων, καὶ ἀΐδιον·

14. «Ἄλλοι μὲν ὑμνοῦντές με [4] ἀδιαλείπτως, ἄλλοι δὲ νικῶντες τὰ πάθη, καὶ νηστεύοντες [5] καρτερικῶς· ἄλλοι δὲ προσκυνοῦντές με εὐλαβῶς, καὶ ἄλλοι ἀεὶ ἀφορῶντες εἰς ἐμέ [6].

15. «Ἄλλοι δὲ λατρεύοντες θεραπεύουσί με τῇ νοερᾷ θυσίᾳ [7], ἄλλοι τῇ ταυτότητι [8], ἄλλοι τῇ ἑτερότητι [9], καὶ ἄλλοι πολυειδῶς ἐν διαφόροις προσώποις [10].

16. «Ἐγώ εἰμι ἡ μεθ' αἵματος θυσία [11], ἡ ἀναίμακτος θυσία [12]· ἡ ὑπὲρ τῶν νεκρῶν θυσία [13]· ἐγώ εἰμι τὸ ἀλεξητήριον [14]· ἐγὼ ἡ ἐπῳδὴ ἐν τῇ θυσίᾳ, ἐγὼ τὸ χεόμενον (ἡ χοὴ ἢ ἡ σπονδὴ [15]) εἰς τὸ πῦρ τῆς θυσίας, ἐγὼ τὸ πῦρ τῆς θυσίας,

---

1. Τοῦτο ἀναφέρεται εἰς τοὺς λατρεύοντας ἄλλοις θεοῖς καὶ δαίμοσι.

2. Φύσιν ἔχουσι παραλογιστικήν, ἐμπαθῆ καὶ ἀλαζωνικήν, ἢ φύσιν δαιμονιώδη, ἐμπαθῆ καὶ φιλόϋλον (Δ. Γρ.).

3. Ἐντεῦθεν λέγει τοὺς τρόπους, δι' ὧν σέβονται αὐτόν.

4. Ὑμνολογοῦντές με (Δ. Γρ.).

5. Ἐγκρατευόμενοι (Δ. Γρ.).

6. Ὅτι τὸ Πᾶν ὁ Θεός ἐστι.

7. Διττὴ ἡ θυσία, ὑλικὴ καὶ νοερά.

8. Τουτέστι, νομίζοντες ἐμὲ καὶ ἑαυτοὺς ἓν καὶ τὸ αὐτό.

9. Νομίζοντες ὅτι οἱ ἄλλοι θεοὶ ἐγώ εἰμι.

10. Ὅτι ἐγὼ μὲν Κύριος, ἐκεῖνοι δὲ δοῦλοί εἰσιν ἐν τῷ Ἴνδρᾳ. — Ἐν τοῖς ἑξῆς ἀποδεικνύει ὅτι ὁ Θεός ἐστι τὰ πάντα.

11. Ἔνθα ἐθίζονται τα σφάγια καὶ ὁ οἶνος.

12. Ἡ ἀναίμακτος καὶ νηφάλιος θυσία.

13. Τὸ παράδειπνον τῶν νεκρῶν.

14. Τὸ βοτανικὸν φάρμακον (Δ. Γρ.).

15. Βούτυρον καὶ ἄλλα συστατικὰ τῆς θυσίας.

17. «Ἐγώ εἰμι ὁ πατὴρ τούτου τοῦ κόσμου, καὶ ἡ μήτηρ, καὶ » ὁ χορηγός [1], καὶ ὁ προπάτωρ· ἐγώ εἰμι τὸ νοερὸν καὶ » ἁγνὸν [2], τὸ Ὂμ καὶ ἡ τριὰς τῶν Βεδῶν (Ῥὶκ, Σάμα, » Ἰαζοῦ) [3].

18. Ἐγώ εἰμι ἡ ὁδὸς, ὁ τροφεὺς, ὁ διοικητὴς, ὁ αὐτόπτης » πάντων [4], ἡ χώρα [5] τῆς ἀνέσεως, τὸ καταφύγιον [6], ὁ » εὐμενὴς, ἡ γένεσις καὶ ἡ φθορὰ, τὸ ἔρεισμα πάντων [7], » ἡ τῆς διαλύσεως τῶν ὄντων χώρα [8], καὶ ὁ σπόρος [9] ὁ » ἄφθορος.

19. «Ἐγὼ θάλπω [10], ἐγὼ ποιῶ τὸν ὄμβρον καὶ τὸν αὐχμόν· » ἐγώ εἰμι ἡ ζωὴ καὶ ὁ θάνατος, καὶ πᾶν αἰσθητὸν καὶ » νοητόν.

20. «Οἱ μὲν οὖν γινώσκοντες, τουτέστιν οἱ φρονοῦντες τὰ τῶν » τριῶν Βεδῶν, καὶ θεραπεύοντές με ταῖς θυσίαις [11], καὶ » πίνοντες τὸ ποτὸν *Σόμα*, καὶ ἐκ τούτου καθαρεύοντες » ἁμαρτιῶν, ζητοῦσι τὴν εἰς οὐρανὸν ἄνοδον· τυχόντες » δ' οὗτοι τοῦ τῆς ἀρετῆς καρποῦ, τῆς χώρας τοῦ Ἴν- » δρα [12], τρυφῶσι τρυφὰς οὐρανίας καὶ θείας [13].

21. «Ἐντρυφήσαντες δὲ τῷ μεγάλῳ οὐρανῷ, εἰσδύουσιν εἰς τὸν

---

1. Ὁ μισθαποδότης (Δ. Γρ.).

2. Ὁ ἁγνισμός.

3. Οἱ μὲν Βραχμᾶνες τῆς Ῥὶκ Βέδας καλοῦσι τοὺς θεοὺς εἰς τὴν θυσίαν· οἱ δὲ τῆς Ἰαζοῦ χέουσιν εἰς τὸ πῦρ τὰ θύματα· οἱ δὲ τῆς Σάμας ὑμνολογοῦσι.

4. Ὁ παντεπόπτης καλῶν καὶ κακῶν.

5. Ὁ τόπος (Δ. Γρ.).

6. Ὁ φύλαξ (Δ. Γρ.).

7. Ἐφ' οὗ πάντα ἐπερείδονται.

8. Ἐν γὰρ τῇ συντελείᾳ τοῦ αἰῶνος πρὸς τὸν Θεὸν χωρεῖ τὸ πᾶν.

9. Ἡ αἰτία (Δ. Γρ.).

10. Ἐγὼ, λαμβάνων τὴν μορφὴν τοῦ ἡλίου, θερμαίνω τὸν κόσμον.

11. Οἱ χρώμενοι τῇ πρακτικῇ ἀρετῇ.

12. Ἐπ' ὀνόματι τοῦ Ἴνδρα καὶ τῶν λοιπῶν θεῶν.

13. Ἀμβροσίαν καὶ χαρὰν κτλ.

» φθαρτὸν κόσμον, ἐκλελοιπότος τοῦ τῆς ἀρετῆς καρποῦ.
» Οὕτως οὖν οἱ ἐρῶντες τρυφῶν, ἑπόμενοι πάλιν τῇ πρα-
» κτικῇ ἀρετῇ [1], ἀπολαμβάνουσι τὴν ἄνοδον καὶ κάθο-
» δον [2].

22. «Ὅσοι δὲ μηδέν τι ἄλλο ἢ ἐμὲ διανοούμενοι σέβονταί με,
» τούτοις ἀεὶ συνημμένοις ἐμοί, μεταδίδωμι παντὸς ἀναγ-
» καίου τοῦ σώματος, καὶ τῆς ἀθανασίας [3].

23. «Ὅσοι δὲ λατρεύουσιν ἄλλους θεοὺς ἐγκαρδίως τε καὶ προ-
» θύμως [4], οὗτοι ἐμὲ μὲν δήπου λατρεύουσιν, ἀλλ' ἄνευ
» τοῦ κυρίως σκοποῦ [5].

24. «Καίτοι δὲ ἐγώ εἰμι πασῶν τῶν θυσιῶν [6] ὁ τρυφῶν [7] καὶ
» ὁ κύριος [8], ἀλλ' ἐπειδὴ οὗτοι [9] οὐ γινώσκουσί με κυρίως
» καὶ ἀληθῶς, διὰ τοῦτο πάλιν καταπίπτουσιν εἰς τὴν γῆν.

25. «Οἱ τιμῶντες τοὺς θεοὺς τοῖς θεοῖς ἐντυγχάνουσιν· οἱ δὲ
» τιμῶντες τοὺς νέκυας [10], τοῖς νέκυσιν ἐντυγχάνουσιν [11].
» Οἱ δὲ τιμῶντες τοὺς δαίμονας [12], τοῖς δαίμοσιν ἐντυγ-
» χάνουσιν· οἱ δὲ τιμῶντες ἐμέ, ἐμοὶ ἐντυγχάνουσιν.

---

1. Τελοῦντες δηλ. θυσίας, προσφορὰς καὶ ἄλλα, ὅσα αἱ Βέδαι διαλαμβάνουσι.

2. Δηλ. ἀναβαίνουσιν εἰς τὸν οὐρανὸν καὶ πάλιν καταβαίνουσι.

3. Ἐπειδὴ εἶπεν ἀνωτέρω, ὅτι οἱ λατρεύοντες τοὺς θεούς, ἐμὲ λατρεύουσι, καθότι ἐγώ εἰμι ἐκεῖνοι, ἐν δὲ τοῖς προειρημένοις δυσὶ στίχοις διαφορὰν ἐπήγαγε, διὰ τοῦτο ἐπιφέρει τὰ ἑξῆς.

4. Ἐκ καρδίας καὶ προθυμίας (Δ. Γρ.).

5. Ἄνευ τῆς ἐπιτεύξεως τῆς ἀθανασίας.

6. Τῶν εἰς πάντας τοὺς θεοὺς τελουμένων.

7. Ὁ ἀπολαύων, ὁ ἀπολαυστής (Δ. Γρ.).

8. Δηλ. ὁ μισθοδότης.

9. Οἱ θυσίας ποιοῦντες.

10. Διὰ τῶν εἰς τοὺς νεκροὺς θυσιῶν καὶ σπονδῶν.

11. Ἐν τῷ τόπῳ τῶν νεκύων, ἔνθα πορεύονται οἱ λατρεύοντες τοῖς θεοῖς τῶν νεκύων.

12. Τὰ φαντάσματα.

26. «Ὅστις προσφέρει μοι εὐλαβῶς[1] φύλλον ἢ ἄνθος, ἢ καρ-
» πὸν, ἢ ὕδωρ, ἐγὼ δέχομαι εὐμενῶς ἐκεῖνο τὸ μετ' εὐ-
» λαβείας καὶ ἐκ καρδίας προσφερόμενον[2].

27. «Ὅθεν ὅ,τι ποιεῖς[3], ὦ Ἀρζούνα, ὅ,τι ἐσθίεις, ὅ,τι θύεις,
» ὅ,τι δίδως, ὅ,τι ἐγκρατεύῃ, καὶ οἵαν ἄσκησιν ποιεῖς,
» τοῦτο ποίει εἰς ἐμὴν ἀναφοράν.

28. «Οὕτω γὰρ ἀπαλλαγήσῃ τοῦ καρποῦ τῶν ἀγαθῶν καὶ
» φαύλων πράξεων, αἳ δεσμὸς τυγχάνουσιν οὖσαι· ὁ ἀνα-
» φέρων γὰρ πάντα εἰς ἐμὲ ἐκ καρδίας, ὅσα ἂν ποιῇ,
» ἀπαλλαγεὶς τοῦ κόσμου ἐντεύξεται ἐμοί.

29. «Ἐγώ εἰμι ὁ αὐτὸς ἐν πᾶσιν[4]· οὔτε γὰρ μίσους ἄξιόν
» ἐστί τι παρ' ἐμοὶ, οὔτ' ἀγάπης[5]· οἵ τινες δὲ λατρεύου-
» σί[6] μοι εὐλαβῶς[7], οὗτοι ἐν ἐμοί εἰσι, κἀγὼ ἐν αὐτοῖς.

30. «Καὶ ὁ λίαν κακότροπος γάρ, ἂν θεραπεύῃ ἐμὲ καὶ μὴ
» ἄλλον, οὗτος κρίνεται παρ' ἐμοὶ ἀγαθὸς καὶ ἄριστος,
» ὡς κρίνας τὸ ὀρθόν[8].

31. «Δοχεῖον γὰρ τῆς ἀρετῆς ταχέως γίνεται, καὶ ἐπιτυγχά-
» νει ἀϊδίου ἀνέσεως. Κήρυξον τοίνυν στεντορίως, ὦ Ἀρ-
» ζούνα, ὡς ὁ θεραπεύων[9] ἐμὲ οὐκ ἀπολεσθήσεται[10],

32. «Οἱ γὰρ ἐλπίζοντες εἰς ἐμὲ, εἰ καὶ ἐλάχιστοι τυγχάνουσιν

---

1. Ἐκ καρδίας (Δ. Γρ.).

2. Δηλ. ἐγὼ δι' εὐτελῶν προσφορῶν εὐμενὴς γίνομαι, καὶ οὐχὶ διὰ πολυτελῶν, ὡς οἱ λοιποί.

3. Ἐκ προσταγῆς τοῦ νόμου.

4. Οὔτ' ἀγαπῶ, οὔτε μισῶ τινα, τουτέστιν ἀδιάφορός εἰμι.

5. Καθὼς οἱ ἐρχόμενοι πλησίον τοῦ πυρὸς θερμαίνονται πάντες ἐξ ἴσου.— Καθὼς τοῦ πυρὸς ἴδιόν ἐστι τὸ φωτίζειν τὸν πλησίον, καὶ τὸ ἀπαλλάττειν τοῦ σκότους.

6. Σέβονταί με (Δ. Γρ.).

7. Ἐγκαρδίως (Δ. Γρ.).

8. Ὀρθῶς γὰρ ἔκρινε (Π. Γρ.).

9. Ὁ σεβόμενος (Π Γρ.).

10. Οὐκ ἀπόλλυται (Δ. Γρ.).

» όντες, είτε γυναίκες δηλονότι, είτε Βαϊσέαι, είτε Σοῦ-
» δραι [1], ἀπολαμβάνουσι τὴν οὐράνιον μακαριότητα [2],

33. «Πολλῷ μᾶλλον οἱ ἐν ἀρετῇ Βραχμᾶνες, καὶ οἱ Ξατραὶ, οἱ
» σεβόμενοί με. Ὅθεν, τυχὼν τούτου τοῦ φθαρτοῦ καὶ ὀδυ-
» νηροῦ κόσμου, ἐμὲ σέβου,

34. «Ἐμὲ διανοοῦ, ἐμοὶ λάτρευε, ἐμοὶ θῦε, ἐμὲ προσκύνει· ἐμοὶ
» γὰρ συζευγνύων τὴν διάνοιαν, καὶ εἰς ἐμὲ ἀφορῶν, ἐν-
» τεύξῃ ἐμοί. »

ΚΕΦΑΛΑΙΟΝ Ι΄.

1. «Πάλιν ἄκουσον τοῦ ὑψηλοῦ μου λόγου [3], ὃν λέξω πρὸς
» συμφέρον σοὶ τῷ περιποθήτῳ μοι Ἀρζούνᾳ.

2. «Τὴν γέννησίν μου [4] οὐκ οἴδασιν οὔτε οἱ θεοὶ πάντες, οὔ-
» τε οἱ μεγάλοι προφῆται· ἐγὼ γάρ εἰμι ἡ καθ' ὅλου ἀρ-
» χὴ [5] τῶν θεῶν καὶ τῶν μεγάλων προφητῶν [6].

3. «Ὅς τις ἐμὲ γινώσκει ἀγέννητον καὶ ἄναρχον, καὶ μέγαν
» ἡγεμόνα τοῦ κόσμου, οὗτος ἔμφρων ἐστὶν ἐν τοῖς βροτοῖς,
» καὶ πασῶν ἀπαλλάττεται τῶν ἁμαρτιῶν.

4. «Ἡ γνῶσις, ἡ φρόνησις, ἡ καρτερία, ἡ ἀνοχὴ, ἡ ἀλήθεια,
» ἡ τῶν αἰσθήσεων ἀταραξία [7], ἡ ἐγκράτεια τῆς διανοίας,
» ἡ εὐθυμία καὶ ἡ δυσθυμία [8], ἡ γένεσις καὶ ἡ φθορὰ, ὁ
» φόβος καὶ ἡ ἀφοβία,

---

1. Οὗτοι γὰρ ἀνάξιοί εἰσι τῆς μυσταγωγίας τῶν Βεδῶν.
2. Τὴν θείαν στάσιν, τὴν ἀθανασίαν.
3. Ἐν τοῖς προειρημένοις Κεφαλαίοις, ἑβδόμῳ, ὀγδόῳ καὶ ἐννάτῳ εἴρηκεν ἐν συντομίᾳ τὴν θείαν μεγαλειότητα· νῦν δὲ ἐν τῷ δεκάτῳ λέγει πλατύτερον εἰς διασάφησιν.
4. Δηλ. ποσάκις ἐπὶ γῆς ἦλθον, φανείς.
5. Ἡ αἰτία.
6. Ἡ αἰτία τῆς γεννήσεως καὶ τῆς συνέσεως.
7. Ἡ γαλήνη (Δ. Γρ.).
8. Ἡ χαρὰ καὶ ἡ λύπη (Δ. Γρ.).

5. «Ὁ οἶκτος, ἡ ἀδιαφορία[1], ἡ εὐαρεστία, ἡ ὀλιγάρκεια, ὁ » κόρος, ἡ ἐγκράτεια, ἡ σκληραγωγία, ἡ δωρεὰ, ἡ εὐφη- » μία καὶ ἡ δυσφημία[2], ἡ ἄγνοια, τὸ ψεῦδος καὶ ἄλλαι » πολυειδεῖς διαθέσεις τῶν ἀνθρώπων ἐξ ἐμοῦ[3] γίνονται » κατὰ μέρος[4].

6. «Οἱ ἑπτὰ μεγάλοι προφῆται Βραχμᾶνες[5] καὶ οἱ πρωτο- » γέννητοι τέσσαρες παῖδες[6], καὶ οἱ Μανουαβαὶ[7] ὡσαύ- » τως ἐκ τῆς ἐμῆς ἐγένοντο διανοίας[8], ἐκ δὲ τούτων ἐ- » γένοντο οὗτοι οἱ ἐν τῷ κόσμῳ[9].

7. «Ὅστις ἀληθῶς γινώσκει τοῦτο τὸ ἀπαύγασμα[10] τῆς ἐμῆς » φύσεως καὶ δυνάμεως, οὗτος ταύτην τὴν θείαν γνῶσιν » ἔχει χωρὶς ἀμφιβολίας.

8. «Ἐγώ εἰμι ἡ πηγὴ τῆς γενέσεως τοῦ παντός[11]· ἐξ ἐμοῦ » γὰρ τὸ πᾶν γίνεται. Οὕτως οἱ σοφοὶ[12] φρονοῦντες λα- » τρεύουσί μοι ἐκ καρδίας.

9. «Οἱ σοφοὶ ἐμὲ ἐννοοῦντες, καὶ ἐμὲ πνέοντες, καὶ γνωρί- » ρίζοντές με πρὸς ἀλλήλους, καὶ ἀεὶ ὑμνοῦντές με ἀνα- » παύονται καὶ εὐφραίνονται.

---

1. Ἐν καλοῖς καὶ ἐν κακοῖς.
2. Ἡ ἀρετὴ καὶ ἡ κακία.
3. Ἐκ τῆς ἐμῆς ὕλης (Δ. Γρ.).
4. Διῃρημένως (Δ. Γρ.).
5. Ἐκ τούτων τὸ Βραχμανικὸν γένος.
6. Ὁ Κουμάρας κλ.
7. Ἐκ τούτων τὸ Ξατρικὸν γένος· δεκατέσσαρες δ' εἰσὶν οὗτοι.
8. Νοερῶς δηλ. ἐγένοντο καὶ οὐχὶ σωματικῶς, ἐκ τῆς ἐμῆς ἐνδιαθέτου βουλῆς καὶ ἐννοίας.
9. Οἱ ἑπτὰ ὅσιοι καὶ οἱ τοῦ Μανοῦ ἐτεκνοποιήσαντο γήμαντες· οἱ δὲ τέσσαρες παῖδες ἔμειναν ἄγαμοι διδάσκοντες ἐπιστήμας, ἐξ ὧν ἐγένοντο οἱ ἐν κόσμῳ ἐπιστήμονες.
10. Τοὺς ἑπτὰ προφήτας καὶ τοὺς Κουμάρας τοὺς τέσσαρας καὶ τοὺς δεκατέσσαρας Μανουαβάς.
11. Διὰ τῶν ἑπτὰ ὁσίων καὶ τῶν ἀπογόνων τοῦ Μανοῦ.
12. Οἱ θεόφρονες.

10. «Τούτοις δὲ τοῖς ἀδιαλείπτως ἐμοὶ ἐντυγχάνουσι καὶ ἐκ » καρδίας λατρεύουσι, δίδωμι ἐκείνην τὴν θείαν γνῶσιν[1], » δι' ἧς ἀπολαύουσί μου.

11. «Τὸ δ' ἐκ τῆς ἀγνοίας[2] αὐτῶν σκότος, χαριζόμενος, » διασκεδάζω τῷ λαμπρῷ φωτὶ τῆς γνώσεως, ἐπικαθή- » μενος τῇ αὐτῶν καρδίᾳ.»

ΑΡΖΟΥΝΑΣ.

12. «Σὺ μὲν οὖν εἶ τὸ ὑπέρτατον θεῖον· Σὺ εἶ τὸ ὑπέρτατον » ἔρεισμα· Σὺ εἶ ὁ ἐπέκεινα πανάγιος[3]· Σὲ οἱ ἑπτὰ ὅσιοι » Βραχμᾶνες λέγουσι πνεῦμα (ὂν) αἴδιον, ὑπέρλαμπρον, » ὑπέρθεον, ἀγέννητον καὶ πανταχοῦ παρόντα.

13. «Ὁμοίως δὲ καὶ ὁ θεοπροφήτης Ναράδας ταῦτα λέγει, καὶ » ὁ Ἀσιτᾶς, καὶ ὁ Δεϐαλᾶς[4], καὶ ὁ Βεάσας, ἀλλὰ καὶ σὺ » αὐτὸς λέγεις μοι.

14. «Πᾶν δ' ὅ,τι μοι λέγεις, τοῦτ' ἐγὼ ἀληθὲς κρίνω· τὴν δὲ » σὴν φύσιν[5], ὦ Θεὲ, οὔτε οἱ θεοὶ οἴδασιν, οὔτε οἱ δαί- » μονες·

15. «Σὺ γὰρ αὐτὸς οἶδας μόνος τὴν σαυτοῦ φύσιν, ὑπεράνθρω- » πε, τῶν ὄντων Ποιητὰ, τῶν ὄντων Κύριε, τῶν θεῶν Θεὲ, » καὶ παντεπόπτα.

16. «Σὺ δύνασαι εἰπεῖν ἀνελλιπῶς τὰς σεαυτοῦ θαυμαστὰς » δυνάμεις[6], δι' ὧν συνέχων τούτους τοὺς κόσμους δια- » μένεις[7].

---

1. Τὴν θεωρίαν (Δ. Γρ.).
2. Ἥ ἐστιν ἰδία τῆς ὕλης.
3. Καθαρός (Δ. Γρ.).
4. Ὁ Ἀσιτὰς καὶ ὁ Δεϐαλὰς νομοθέται.
5. Μορφὴν (Πρ. Γρ.).
6. Μορφάς (Πρ. Γρ.).
7. Ἐμμένεις (Πρ. Γρ.),

17. «Ἐγὼ ἀεὶ διανοούμενός σε, πῶς ἄν σε γνοίην[1], ὦ παν-
» τογνῶστα; ἐν τοῖσιν οὐσίαις[2] ἔσῃ μοι καταληπτός[3];
18. «Εἰπέ μοι πάλιν τὴν σαυτοῦ δύναμιν καὶ φύσιν ἐκτετα-
» μένως· οὐ γὰρ κόρος ἐμοὶ ἀκούοντι τοῦ σοῦ ἀμβροσίου
» λόγου.»

ΚΡΙΣΝΑΣ.

19. «Ἐγὼ λέξω σοι ἐν κεφαλαίῳ τὰς θαυμαστὰς ἐμαυτοῦ μορ-
» φάς[4]· οὐ γάρ ἐστι πέρας τῆς ἐκτάσεώς μου.
20. «Ἐγώ εἰμι ἡ ψυχή, ἡ ἐνοῦσα πᾶσι τοῖς ἐμψύχοις· ἐγώ
» εἰμι ἡ γέννησις, ἡ αὔξησις καὶ ἡ μείωσις τῶν ὄντων[5].
21. «Μεταξὺ τῶν (δώδεκα) Ἀδειτεῶν[6] θεῶν, ἐγώ εἰμι ὁ
» Βισνοῦς[7]· μεταξὺ τῶν λαμπρῶν φώτων ἐγώ εἰμι ὁ
» ἀκτινοβόλος Ἥλιος· μεταξὺ τῶν Μαρούττων[8] ἐγώ εἰμι
» ὁ Μαρίκης· ἐν τοῖς ἄστρασιν ἐγώ εἰμι ἡ Σελήνη.
22. «Ἐν ταῖς Βέδαις ἐγώ εἰμι ἡ Σάμα Βέδα[9]· ἐν τοῖς θεοῖς
» ἐγώ εἰμι ὁ Ἴνδρας· τῶν αἰσθήσεων ἐγώ εἰμι ἡ διάνοια[10]·
» τῶν ἐμψύχων ἐγώ εἰμι τὸ λογικόν[11].

---

1. Πῶς γνωρίσω σε (Πρ. Γρ.).
2. Πράγμασι (αὐτολεξεί).
3. Γνωστός (Πρ. Γρ.).
4. Φύσεις, δυνάμεις (Δ. Γρ.).
5. Ἐγώ εἰμι ἡ ἀρχὴ καὶ τὸ μέσον καὶ τὸ τέλος τῶν ὄντων· δηλ. ἡ γένεσις, ἡ ὕπαρξις, καὶ ἡ φθορά.
6. Οὗτοι ἐγεννήθησαν ἐκ τῆς Ἀδιτῆς, γυναικὸς τοῦ Κησάπα, καὶ ἔπειτα ἐγεννήθη ἐξ αὐτῆς καὶ ὁ Βημάνας. Καὶ ὁ Ἴνδρας υἱός ἐστι τῆς Ἀδιτῆς.
7. Βισνοῦς, εἷς τῶν δώδεκα ἡλίων (Balpa 40).
8. Οἱ ἀστέρες ἐνταῦθα ἐννοοῦνται, ἢ γένος θεῶν, οἳ πεντήκοντά εἰσιν, ἑνὸς δέοντος, ὧν πρῶτός ἐστιν ὁ Μαρίκης.
9. Ἐν ταύτῃ τῇ Βέδᾳ ὕμνοι εἰσὶ καὶ δοξολογίαι τῆς μεγαλοπρεπείας τοῦ Ἴνδρα. Διὰ τῆς Ῥὴκ Βέδας καλοῦσι τοὺς θεούς· διὰ δὲ τῆς Ἰαζοῦς σπένδουσι, διὰ δὲ τῆς Σάμας δοξολογοῦσι.
10. Ἡ αἰσθητικὴ δύναμις, ἡ καρδία (Δ. Γρ.).
11. Ἡ γνωστικὴ δύναμις, ἡ ἐνέργεια (Δ. Γρ.).

23. «Ἐν τοῖς Ῥούδραις [1] ἐγώ εἰμι ὁ Σίβας· ἐν τοῖς Ἰαξαράξαις [2] ἐγώ εἰμι ὁ Κουβέρας· ἐν τοῖς Βασούναις [3] ἐγώ » εἰμι ὁ Παβακᾶς [4]· ἐν τοῖς μετεώροις ὄρεσιν ἐγώ εἰμι » τὸ ὄρος Μερόη [5].

24. «Ἐν τοῖς ἱερουργοῖς ἐμὲ γίνωσκε, πρῶτον Βριχασπατήν [6]· » ἐν τοῖς στρατηγοῖς ἐγώ εἰμι ὁ Σκάνδας [7]· ἐν ταῖς λί» μναις ἐγώ εἰμι ἡ θάλασσα.

25. «Ἐν τοῖς μεγάλοις προφήταις ἐγώ εἰμι ὁ Βριγοῦς· ἐν ταῖς » λέξεσιν ἐγώ εἰμι τὸ μονοσύλλαβον *Ὄμ*· ἐν ταῖς θυ» σίαις ἐγώ εἰμι ἡ νοερὰ θυσία [8]· ἐν τοῖς στερεοῖς ἐγώ » εἰμι ὁ Ἰμαός [9].

26. «Ἐν τοῖς δένδροις πᾶσιν ἐγώ εἰμι τὸ δένδρον Πιππάλα· » ἐν τοῖς θεοπροφήταις ἐγώ εἰμι ὁ Ναράδας· ἐν τοῖς Γαν» δάρβαις [10] ἐγώ εἰμι ὁ Σιτραράτας· ἐν τοῖς θεόφροσιν » ἐγώ εἰμι ὁ θεόφρων Καπίλας [11].

27. «Ἐν τοῖς ἵπποις ἐμὲ γίνωσκε τὸν ἵππον Οὐσαϊσραβᾶν, » τὸν γεννηθέντα ἐκ τῆς θαλάσσης ἅμα τῇ ἀμβροσίᾳ, καὶ

---

1. Ἕνδεκα οὗτοι, ὧν πρῶτος ὁ Σίβας.

2. Ἄλλο γένος θεῶν, φυλάκων τοῦ πλούτου.

3. Ὀκτὼ θεοὶ καὶ οὗτοι ἄλλης φατρίας.

4. Τὸ πῦρ.

5. Τοῦτο τὸ ὄρος πολυθρύλλητόν ἐστι παρ' Ἰνδοῖς, ὡς ὁ Ἑλικὼν καὶ ὁ Παρνασσὸς παρ' Ἕλλησιν· ἔστι δὲ χρυσοῦν, ὡς μυθεύεται.

6. Οὗτος ἦν ἱερεὺς καὶ διδάσκαλος τῶν θεῶν, κατ' ἐξοχὴν δὲ τοῦ Ἴνδρα, ὃς ἤνεγκεν αὐτὸν εἰς τὸν παράδεισον.

7. Μέγας καὶ ἄξιος στρατηγὸς ἐν θεοῖς οὗτος· τὸ δ' ὄχημα αὐτοῦ ὁ Ταώς, υἱὸς δὲ τοῦ Σίβα. Οἱ θεοὶ χειροτονήσαντες αὐτὸν στρατηγόν, ἐνίκησαν τοὺς Γίγαντας.

8. Ἡ προσευχή (αὐτολεξεί).

9. Ἐν τούτῳ τῷ ὄρει πολλὴ χιὼν καταπίπτει· ὅθεν πολλοὶ τῶν ἐνθουσιαστῶν πορεύονται ἐκεῖσε, καὶ ῥίπτοντες ἑαυτούς, ἀποθνήσκουσιν ἐπὶ τῆς χιόνος.

10. Ἄλλη φατρία θεῶν μουσικῶν.

11. Ὁ σιωπηλὸς (Πρ. Γρ.). — Οὗτος ἐκ γενετῆς ἦν θεόφρων.

» ἐν τοῖς ἐλέφασι τὸν Αἰραβάταν [1], καὶ ἐν ἀνθρώποις
» τὸν βασιλέα.

28. «Ἐν τοῖς ὅπλοις ἐγώ εἰμι τὸ ὅπλον τοῦ Ἴνδρα [2]· ἐν ταῖς
» δαμάλεσιν ἐγώ εἰμι ἡ Καμαδούγκα [3]· ἐν τοῖς ἔρωσιν
» ἐγώ εἰμι ὁ ἔρως ὁ γεννητικός [4]· ἐν τοῖς φαρμακώδε-
» σιν ὄφεσιν ἐγώ εἰμι ὁ Βασουκής [5].

29. «Ἐν τοῖς ἀφαρμάκοις ὄφεσιν [6] ἐγώ εἰμι ὁ Σέσσας [7]· ἐν
» τοῖς Τρίτοσιν [8] ἐγώ εἰμι ὁ Βαρούνας [9]· ἐν τοῖς νέκυσιν
» ἐγώ εἰμι ὁ Ἀριαμάν [10]· ἐν τοῖς δικασταῖς ἐγώ εἰμι ὁ
» Ἰάμας [11].

30. «Ἐν τοῖς Γίγασιν [12] ἐγώ εἰμι ὁ Πραχλάδας [13]· ἐν τοῖς
» ὀλετῆρσιν [14] ἐγώ εἰμι ὁ πανδαμάτωρ χρόνος· ἐν τοῖς
» ἀγρίοις ζώοις [15] ἐγώ εἰμι ὁ λέων, καὶ ἐν τοῖς ὄρνεσιν
» ὁ ἀετός.

---

1. Καὶ οὗτος ὁ ἐλέφας ἐκ τῆς θαλάσσης ἐγεννήθη· καὶ αὐτὸν δὲ καὶ τὸν Οὐσαϊσραβᾶν ἵππον ἔλαβεν ὁ Ἴνδρας· ἀμφότεροι δέ εἰσι λευκόχροες. Αἰραβάτας δηλοῖ θαλάσσιος.

2. Ὁ κεραυνός.

3. Αὕτη ἐστὶ παρὰ τοῖς θεοῖς· μυθολογοῦσι δ' ὅτι ἀμέλγεται ἐξ αὐτῆς πᾶν ὅ,τι ἐπιποθεῖ τις· ἔστι δ' ὡς ἡ Ἀμάλθεια παρ' Ἕλλησι.

4. Ὁ αἴτιος τῆς γεννήσεως· ὁ γὰρ γάμος οὐ γίνεται ἐφ' ἡδονῇ, ἀλλ' ἐπὶ γεννήσει παιδίων.

5. Οὗτός ἐστιν ὑπὸ γῆν βασιλεὺς τῶν ὄφεων.

6. Ἐν τοῖς Δράκοσιν (Πρ. Γρ.).

7. Ἐπὶ τούτου τῶν ὤμων ἔχεται ἡ γῆ.

8. Κήτεσιν (Πρ. Γρ.).

9. Οὗτός ἐστιν ὁ παρ' Ἰνδοῖς Ποσειδῶν, βασιλεὺς τῶν ὑδάτων.

10. Βασιλεὺς τῶν νεκρικῶν θεῶν καὶ κριτής.

11. Ὁ βασιλεὺς τοῦ ᾅδου, ὡς ὁ Πλούτων παρ' Ἕλλησι.

12. Ἢ Τιτᾶσιν.

13. Οὗτος ἦν υἱὸς τοῦ Χηρινάξα (Κασσιποῦ), ὃν ὁ Θεὸς, μεταμορφωθεὶς εἰς σχῆμα λεοντανθρώπου, ἀνεῖλε. Χηρινάξας δὲ ἐτυμολογεῖται Χρυσώπης.

14. Ἴσ. ἐν τοῖς θηρίοις.

31. «Ἐν τοῖς ὠκυδινήτοις [1] ἐγώ εἰμι ὁ ἀήρ· ἐν τοῖς ὁπλο-
» φόροις [2] ἐγώ εἰμι ὁ Ῥάμας· ἐν τοῖς νηκτοῖς ἐγώ εἰμι
» ὁ κροκόδειλος· ἐν τοῖς ποταμοῖς ἐγώ εἰμι ὁ Γάγγης.

32. «Τῶν ποιημάτων ἐγώ εἰμι ἡ ἀρχὴ, καὶ τὸ τέλος, καὶ τὸ
» μέσον [3]· ἐν ταῖς ἐπιστήμαις καὶ μαθήσεσιν ἐγώ εἰμι
» ἡ θεολογία· ἐν τοῖς διαλεγομένοις ἐγώ εἰμι ὁ ἀληθὴς
» λόγος [4].

33. «Ἐν τοῖς στοιχείοις τῶν γραμμάτων ἐγώ εἰμι τὸ Ἄλφα [5]·
» ἐν ταῖς συνθέσεσι τῶν λέξεων ἐγώ εἰμι ἡ Δβάνδβα [6]
» σύνθεσις· ἐγώ εἰμι ὁ αἴδιος [7] χρόνος· ἐγώ εἰμι ὁ πάν-
» των Ποιητής·

34. «Ἐγώ εἰμι ὁ παντολέτωρ θάνατος. Τῶν γεννησομένων ἐ-
» γώ εἰμι ἡ γένεσις καὶ αὔξησις· ἐν τοῖς προτερήμασιν [8]
» ἐγώ εἰμι ἡ εὐφημία, ἡ εὐδαιμονία [9], ἡ εὐγλωττία, ἡ
» μνημοσύνη, ἡ ἀγχίνοια [10], ἡ καρτερία καὶ ἡ ἀνοχή.

35. «Ἐν τῇ Σάμᾳ Βέδᾳ ἐγώ εἰμι ἐκείνη ἡ ᾠδὴ, ἡ καλουμέ-
» νη Βριχατσάμα [11]· ἐν τοῖς εἴδεσι τῶν στίχων [12] ἐγώ

---

1. Ἐν τοῖς καθαρεῖς, ἐν τοῖς ὠκυπόροις, ἐν τοῖς ταχέσιν (Πρ. Γρ.).

2. Τουτέστι στρατιωτικοῖς.

3. Πρότερον εἴρηκε τὰ αὐτὰ, ὅτι ἐγώ εἰμι ἡ ἀρχὴ κτλ. νῦν δὲ λέγει πάλιν τὰ αὐτά· καὶ ἵνα μὴ εἴη ταὐτολογία, τὸ πρότερον ἐννοεῖται ἐπὶ τῆς ποιήσεως, τοῦτο δὲ ἐπὶ τῆς δυνάμεως.

4. Ἐπειδὴ πολλοὶ λέγονται καὶ ἀπατηλῶς, ἤτοι ψευδῶς.

5. Ἐπειδὴ δι' αὐτοῦ πᾶν σύμφωνον συμφωνεῖται κα, βα, πα, κτλ.

6. Δάνδα (Πρ. Γρ.) σύνθεσις. Τὰ εἴδη τῶν ἐν τοῖς λέξεσι συνθέσεων, κατὰ τὴν γραμματικὴν τῶν Ἰνδῶν, ἐν αἷς μία ἐστὶ καὶ ἡ σύνθεσις ἡ λεγομένη Δβάνδβα, ἐκ δύο κυρίων ἢ προσηγορικῶν, ἀνὴρ καὶ γυνὴ, ἡ χεὶρ καὶ ὁ ποῦς, οἷον Ῥαμακρισνάου, σύνθετος λέξις δυϊκοῦ ἀριθμοῦ, ὅπερ μεταφραζόμενον λέγεται καὶ Ῥάμας καὶ Κρισνᾶς, καὶ ἀνὴρ καὶ γυνὴ κτλ.

7. Ὁ ἀέναος, δηλ. ἡ αἴδιος ζωή.

8. Πολλά εἰσι τὰ προτερήματα, ὧν ἄριστά εἰσι τὰ ἑπτὰ ταῦτα.

9. Ἡ εὐμορφία (Πρ. Γρ.).

10. Ἡ ὀξύνοια (Πρ. Γρ.).

11. Ὑμνολογία ἐστὶ πρὸς τὸν Ἴνδραν, ὅτε θυσία πρὸς αὐτὸν γίνεται.

12. Ἐν ταῖς ποιήσεσι (Πρ. Γρ.). Τοῦτο τὸ εἶδος τοῦ στίχου, ὅπερ συνίστα-

» εἰμι τὸ εἶδος τὸ καλούμενον *Γαγετρή* [1]· ἐν τοῖς Μησὶν
» ἐγώ εἰμι ὁ μὴν Νοέμβριος· ἐν ταῖς ὥραις ἐγώ εἰμι τὸ
» ἀνθηρὸν ἔαρ.

36. «Τῶν ἀπατηλῶν καὶ φενακιστικῶν ἐγώ εἰμι ἡ κυβεία [2]·
» τῶν ὀξέων ἐγώ εἰμι ἡ ὀξύτης· τῶν νικητῶν ἐγώ εἰμι
» ἡ νίκη· τῶν σπουδαίων [3] ἐγώ εἰμι ἡ σπουδή· τῶν δι-
» καίων καὶ τῶν ἀγαθῶν ἐγώ εἰμι ἡ δικαιοσύνη καὶ ἡ
» ἀγαθότης.

37. «Ἐν τοῖς ἀπογόνοις τοῦ Βρισνῆ ἐγώ εἰμι ὁ υἱὸς τοῦ Βα-
» συδέβα (ὁ Βασουδεβάδης)· ἐν τοῖς υἱοῖς τοῦ Πανδοῦ
» ἐγώ εἰμί ὁ Ἀρζούνας· ἐν τοῖς θεολόγοις ἐγώ εἰμι ὁ Βεά-
» σας· ἐν τοῖς σοφοῖς ἐγώ εἰμι ὁ σοφὸς Σούκρας [4].

38. «Τῶν κολαστῶν [5] ἐγώ εἰμι ἡ ῥάβδος [6]· τῶν ἐφιεμένων νί-
» κης ἐγώ εἰμι ἡ ὀρθὴ διοίκησις· τῶν ἀποκρύφων [7] ἐγώ
» εἰμι ἡ σιγή· τῶν θεοφρόνων [8] ἐγώ εἰμι ἡ θεοφροσύνη [9].

39. «Ἀλλὰ καὶ ὅ,τι σπέρμα ἐστὶ πάντων τῶν ὄντων, ἐγώ
» εἰμι τοῦτο· εἴτε γὰρ ἔμψυχον ἢ ἄψυχον [10] εἴη, τοῦτο
» οὐκ ἔστιν ἄνευ ἐμοῦ.

40. «Οὐκ ἔστιν οὐδὲν πέρας τῶν θείων μου δυνάμεων· αὕτη
» δ' ἡ ἔκτασις τῆς δυνάμεώς μου [11] ἐν συντομίᾳ ἐῤῥέθη σοι.

ται ἐκ τριῶν ποδῶν ἢ ἐξ κδ' συλλαβῶν, ἱερόν ἐστι· διὰ γὰρ τούτου εἴ τε Βραχμᾶνες ἀναγεννῶνται ἁγιαζόμενοι, καὶ ἡ θυσία Σάμα διὰ τούτου τελεῖται.

1. Γαγετρὴ ὕμνος πρὸς τὸν Σίβαν καὶ πρὸς τὸν Γανέσαν.
2. Ἀπατηλὴ γάρ ἐστιν αὕτη ἡ παιδιά.
3. Φιλέργων, φιλοπόνων.
4. Οὗτος ἦν διδάσκαλος τῶν Δαιμόνων, Τιτάνων καὶ Γιγάντων.
5. Ἡγεμόνων, δικαστῶν, διδασκάλων.
6. Ἡ παιδεία δηλ.
7. Τῶν μυστικῶν (Πρ. Γρ.).
8. Φρονίμων (Πρ. Γρ.).
9. Φρόνησις (Πρ. Γρ.).
10. Κινητὸν ἢ ἀκίνητον (Πρ. Γρ.).
11. Τῆς φύσεώς μου, τῆς μορφῆς μου (Δ. Γρ.).

41. «Ὅλως δὲ, ὅ,τι καλὸν καὶ ἐξαίρετόν ἐστι κατ' ἐνέργειαν » ἢ κατὰ προαίρεσιν, τοῦτο γίνωσκε ὂν μόριον τῆς ἐμῆς » δυνάμεως [1].

42. «Ἀλλὰ τί δεῖ σοι πολλὰ εἰδέναι; ἐγώ εἰμι ὁ κρατῶν [2] » τοῦτον πάντα τὸν κόσμον ἐν χειρὶ, καὶ ἐν παντί εἰμι [3].

ΚΕΦΑΛΑΙΟΝ ΙΑ΄.

ΑΡΖΟΥΝΑΣ.

1. «Ὃν λόγον εἶπάς μοι, τῇ σαυτοῦ χαριζόμενος χάριτι, ὑψη- » λός ἐστι, μυστικὸς, φιλοσοφικός τε καὶ θεολογικός· καὶ » γὰρ ἐξ αὐτοῦ πόῤῥω μου ἐγένετο ἡ ἄγνοια [4].

2. «Ἡ μὲν οὖν γένεσις καὶ φθορὰ τῶν ὄντων [5], ἡ ὑπὸ σοῦ » γινομένη, ἠκούσθη μοι ἐκτεταμένως παρὰ σοῦ, ὦ λω- » τόφθαλμε, καὶ ἡ ἀπάθητος [6] πρὸς τούτοις δύναμίς σου [7].

3. «Ὡς δὲ λέγεις, οὕτως ἔχει ἡ φύσις σου, μεγαλοδύναμε· » ἀλλ' ἰδεῖν ἐφίεμαι τὴν θείαν σου μορφὴν, ὑπεράνθρωπε.

4. «Δεῖξόν μοι τοιγαροῦν τὴν σαυτοῦ θείαν μορφὴν [8], ὦ » Θεὲ καὶ Κύριε τῶν θεοφρόνων, εἴγε ἱκανὸν κρίνεις με » ἰδεῖν αὐτήν· »

---

1. Ἐξουσίας (Πρ. Γρ.).
2. Ὁ ἔχων ἐν χειρί.
3. Τουτέστιν ἄπειρός εἰμι. Βέδας ῥητόν· «Πάντα τὰ ὄντα ποῦς ἐστι τοῦ » Θεοῦ· » δηλ. ἓν μόριον. Ἄπειρος ὁ Θεός.
4. Ὅτι ἐγὼ φονεὺς ἔσομαι, καὶ οὗτοι οἱ συγγενεῖς μου φονευθήσονται.
5. Ὅτι σὺ ποιεῖς καὶ φθείρεις δηλ. τὸ πᾶν.
6. Οὐ γὰρ πάσχεις ἐν τῷ ποιεῖν.—Ἀναλλοίωτος (Δ. Γρ.):
7. Μεγαλειότης σου (Πρ. Γρ.).
8. Φύσιν, δύναμιν (Δ. Γρ.).

ΚΡΙΣΝΑΣ.

5. «Ἰδὲ τὰς ἐπ' ἄπειρον [1] πολυειδεῖς, πολυφυεῖς, πολυχρω-
» μάτους καὶ θαυμαστὰς μορφάς μου.

6. «Ἰδὲ τοὺς Ἀδειτέας [2], τοὺς Βασούνας [3], τοὺς Ῥούδρας [4],
» τοὺς Ἀσβινάου (Ἀσβινηκουμαράου, Ἀσβινηκουμάρας [5])
» καὶ τοὺς Μαρούτας [6]· ἰδὲ πολλὰς θαυμαστὰς μορφάς,
» μὴ προοφθείσας μηδ' ὑπὸ σοῦ, μηδ' ὑπό τινος ἄλλου.

7. «Ἰδὲ τόγε νῦν ἔχον τὸ πᾶν κινητὸν ὁμοῦ καὶ ἀκίνητον,
» ἐνὸν τούτῳ μου τῷ σώματι, καὶ ὅ,τι ἄλλο ἀγαπᾷς
» ἰδεῖν [7].

8. «Σὺ μὲν οὐχ οἷός τε εἶ τούτοις τοῖς οἰκείοις ὀφθαλμοῖς
» ἰδεῖν· ἀλλ' ἐγὼ θείαν δίδωμί σοι ὅρασιν, καὶ ὅρα τὴν
» μεγάλην [8] μου δύναμιν.»

ΣΑΝΖΑΪΑΣ.

9. Οὕτως εἰπών, ὦ βασιλεῦ, ὁ μεγαλοδύναμος Κύριος καὶ Θεός, ἔδειξε τῷ Ἀρζούνᾳ τὴν ὑπερτάτην αὐτοῦ μορφὴν καὶ δύναμιν.

10. Ἔδειξεν ἐκ τοῦ προχείρου τὸ ἑαυτοῦ σῶμα θαυμασίως

---

1. Τὰς ἑκατοντάκις καὶ χιλιάκις (Πρ. Γρ.).

2. Δώδεκα θεοὶ οὗτοι περὶ τὸν ἥλιον.

3. Ὀκτὼ οὗτοι.

4. Ἀκόλουθοι τοῦ Σίβα.

5. Δύω θεοὶ καὶ ἰατροὶ παρὰ τοῖς θεοῖς· ἀλλ' οὐδέ ποτε συντρώγουσιν, οὐδὲ συμπίνουσι τοῖς θεοῖς· διότι οἱ ἰατροὶ σκληροκάρδιοί πως εἰσί, τέμνοντες τοὺς πάσχοντας.

6. Θεοί, ἔφοροι τῶν ἀνέμων· εἰσὶ δ' ἐννέα πρὸς τοὺς τεσσαράκοντα τὸν ἀριθμόν.

7. Δηλ. αἴτιον καὶ αἰτιατὸν, ἀνώτερον καὶ κατώτερον.

8. Τὴν θείαν μου δύναμιν, τίνες οἱ νικήσοντες καὶ τίνες οἱ νικηθησόμενοι.

πολυπρόσωπον [1], πολυόμματον, πολύμορφον, πολύκοσμον, πολύοπλον.

11. Εἶδε τὸν ἀτελεύτητον Θεὸν πανθαύμαστον, λαμπροστέφανον, λαμπροχίτωνα, καὶ ἀλειλιμμένον [2] θείοις εὐώδεσιν ἀλείμμασι.

12. Εἰ γὰρ καθ' ὑπόθεσιν ἐν οὐρανῷ χιλίων ἡλίων φῶς ἅμα ἀνατείλῃ, ἴσως ὁμοιοφανὲς ἄνπως εἴη ἐκείνῳ τῷ θείῳ φωτί.

13. Τότε [3] εἶδεν ὁ Ἀρζούνας τὸ πᾶν πολυειδῶς ἑνὸν ἐν τῷ σώματι τοῦ Θεοῦ τῶν θεῶν.

14. Ἐκ δὲ τούτων θαύματι καὶ φρίκῃ συσχεθεὶς, κλίνας τὴν κεφαλὴν [4] προσεκύνησε, καὶ ἑνώσας τὰς παλάμας μετ' εὐλαβείας, εἶπε τῷ Θεῷ·

ΑΡΖΟΥΝΑΣ.

15. «Ἐγὼ βλέπω ἐν τῷ σῷ σώματι, ὦ Θεὲ, τοὺς θεοὺς πάν-
» τας, καὶ πάνθ' ὁμοίως τὸν ὅμιλον τῶν διεστώτων ὄν-
» των [5], καὶ τὸν δεσπότην [6] Βραχμᾶν ἐπὶ τοῦ ἄνθους
» Καμάλα [7], καὶ τοὺς ὁσίους πάντας, καὶ τοὺς ὄφεις παν-
» ταχόθεν.

16. «Βλέπω σε πανταχόθεν παντόμορφον, πολύχειρα καὶ πο-
» λυγάστορα, πολύστομον καὶ πολυόμματον καὶ παντα-

---

1. Πανταχόθεν πρόσωπα ἔχων.
2. Κεχρισμένον μύροις καὶ εὐώδεσιν ἐλαίοις.
3. Ἐνταῦθα (Δ. Γρ.).
4. Πεσὼν προσεκύνησε (Δ. Γρ.).
5. Πᾶν ἔμψυχον καὶ ἄψυχον.
6. Δεσπότην θεῶν, ἀνθρώπων καὶ πάντων τῶν λοιπῶν.
7. Λωτοῦ.

» χόθεν ἀπειρόμορφον· καὶ οὔτε τέλος[1] σου βλέπω, οὔτε
» μέσον[2], οὔτε ἀρχὴν[3], παντοκράτωρ.

17. «Βλέπω σε στεφανίτην, καὶ κορυνήτην, καὶ τροχίτην,
» καὶ ὁλόφωτον[4], καὶ περίφωτον, καὶ δυσαντίβλεπτον,
» καὶ ὅμοιον τὴν λάμψιν τῷ τοῦ πυρὸς καὶ τοῦ ἡλίου φωτί.

18. «Πιστεύω οὖν, ὅτι σὺ εἶ τὸ ὕψιστον καὶ νοερὸν θεῖον,
» τοῦ κόσμου τούτου ὑπέρτατον δοχεῖον· σὺ εἶ ἄφθαρτος
» καὶ ὁ τοῦ αἰωνίου νόμου ἔφορος· σὺ εἶ ἡ ἀΐδιος ζωή,
» καὶ ἀΐδιον ὂν καὶ προαιώνιον.

19. «Βλέπω σε ἀμέτοχον γεννήσεως[5], αὐξήσεως καὶ μειώ-
» σεως, ἀπειροδύναμον, ἀπειροβραχίονα, ἡλιοσεληνόμμα-
» τον, πυριφλογόστομον, καὶ θερμαίνοντα[6] τῇ οἰκείᾳ θερ-
» μότητι[7] τοῦτο τὸ πᾶν.

20. «Τὸ μέσον τοῦτο τοῦ οὐρανοῦ καὶ τῆς γῆς, καὶ πάντα
» τὰ τοῦ κόσμου μέρη πεπληρωμένα σοῦ ἑνός εἰσι· καὶ
» ὁ τριττὸς κόσμος λίαν ἐφοβήθη, θεασάμενος ταύτην τὴν
» ὑπερφυᾶ καὶ φοβερὰν μορφήν σου.

21. «Ἅπαντες οὗτοι οἱ θεοί, φοβηθέντες καταφεύγουσιν εἰς
» σέ, ἔνιοι δὲ τούτων καὶ δοξολογοῦσί σε ἑνοῦντες τὰς
» παλάμας[8]· ἡ πληθὺς τῶν μεγάλων ὁσίων καὶ ἁγίων,
» εὐλογοῦντες ὑμνοῦσί σε ὕμνοις πολλοῖς.

---

1. Μαίωσίν σου.

2. Αὔξησιν.

3. Γέννησιν.

4. Πολύφωτον, τηλαυγῆ.

5. Μὴ ὑποκείμενον δηλ. γεννήσει, κτλ.

6. Καὶ φωτίζοντα φωτὶ τῷ οἰκείῳ τοῦτο τὸ πᾶν (Πρ. Γρ.). — Ζωπυροῦντα θάλποντα (ἐπεξήγ.).

7. Πυρὶ τῷ οἰκείῳ (Δ. Γρ.).

8. Ἐκφωνοῦντες «Σωτηρία ἔστω τῷ κόσμῳ.»

22. «Οἱ Ῥοῦδραι[1] οἱ Ἀδειτέαι, οἱ Βασαβαὶ[2], οἱ Σαδδέαι[3],
» οἱ Βισβέαι, τὼ Ἀσβινάου (οἱ Ἀσβιναῖοι), οἱ Μαροῦται,
» οἱ Οὔσμαπαι[4], οἱ Γανδάρβαι, οἱ Ἰιάξαι[5], οἱ Ἀσοῦραι
» καὶ οἱ Σίδδαι ἁπαξάπαντες, θαυμάζοντες βλέπουσί σε.

23. «Οἱ ἄνθρωποι, ὁρῶντες τὴν ὑπέροχον καὶ φοβερὰν μορ-
» φήν σου, τὴν πολύστομον, καὶ πολυόμματον, καὶ πο-
» λυβραχίονα, καὶ πολύμηρον, καὶ πολύπουν (πολυχειρο-
» μηρόπουν), καὶ πολυγάστορα, καὶ πολυκαρχαρόδοντα[6],
» δεδίττονται σφόδρα, ὡς κἀγώ.

24. «Βλέπων σε οὐρανομήκη, καὶ λαμπρὸν, καὶ πολύχρουν,
» καὶ χασμόστομον, καὶ φλογομεγαλόφθαλμον, καταπλήτ-
» τομαι τὴν ψυχὴν, καὶ οὔτε καρτερίαν ἔχω, οὔτ' ἄνε-
» σιν εὑρίσκω.

25. «Βλέπων τὰ στόματά σου τὰ καρχαρόδοντα, καὶ ὅμοια
» τῷ πυρὶ τῆς συντελείας τοῦ αἰῶνος, οὐδὲν τῶν τεσ-
» σάρων μερῶν τοῦ κόσμου διακρίνω, οὐδ' ἀτρέμας ἔχω[7]·
» ἵλεώς μοι ἔσο, θεῶν Θεὲ, τὸ τοῦ κόσμου ἔρεισμα[8].

26. «Οὗτοι δὲ οἱ τοῦ Δρυταράστα υἱοὶ πάντες, ὅ τε Βήσμας
» καὶ ὁ Δρόνας, καὶ ὁ Καρνᾶς οὗτος μετὰ τῶν λοιπῶν

---

1. Ῥοῦδραί εἰσιν ἕνδεκα.—Οἱ Ἀδειτέαι δώδεκα, οἱ Βασαβαὶ ὀκτὼ, οἱ Σαδδέαι, οἱ Βισβέαι καὶ οἱ Ἀσβιναῖοι ἀνὰ δύω, οἱ Μαροῦται πεντήκοντα ἐννέα.

2. Οἱ Βασοῦαι (Πρ. Γρ.).

3. Θεοὶ τῶν νεκρῶν.

4. Οὗτοί εἰσιν οἱ Νέκυες, ἐτυμολογεῖται δὲ παρὰ τὸ πίνειν, δηλ. τρώγειν θερμά· οἱ γὰρ σιτίζοντες τοὺς Βραχμᾶνας ὑπὲρ τῶν νεκρῶν, νομίζουσιν ὅτι ἐκεῖνοι τρώγουσιν· ὅτε δὲ θερμὰ βρώματα τρώγουσι, καὶ ὅτε οὐδὲ λαλοῦσι τρώγοντες, καὶ ὅτε οὔτε ἐπαινοῦσιν, οὐδὲ μὴν κατηγοροῦσι τῆς ποιότητος τῶν βρωμάτων, τότε νομίζεται, ὅτι κἀκεῖνοι οἱ νεκροὶ συμμετέχουσι τῶν βρωμάτων. Ἡ Βέδα ταῦτα λέγει.

5. Οἱ Τιτᾶνες καὶ οἱ Γίγαντες.

6. Πολυόδουν (Πρ. Γρ.).

7. Ἄνεσιν, ἠρεμίαν ἔχω (Δ. Γ.).

8. Κατασκήνωμα, κατάλυμα· ἐν αὐτῷ γὰρ τὰ πάντα.

» βασιλέων, καὶ μετὰ τῶν ἡμετέρων πρὸς τούτοις καλο-
» φώνων πολεμιστῶν

27. «Εἰσδύουσι ταχέως[1] εἰς τὰ σὰ καρχαρόδοντα στόματα·
» εἰσὶ δ' οἳ φαίνονται ἐμπεπηγμένοι τοῖς διαχαράγμασί
» σου τῶν ὀδόντων, καὶ τὰ κρανία διεῤῥηγμένοι.

28. «Καθὼς γὰρ τὰ πολλὰ ῥεύματα τῶν ποταμίων ὑδάτων
» εἰσρέουσι κατ' εὐθεῖαν εἰς τὰ πελάγη, οὕτω καὶ οἱ ἐπὶ
» τῆς γῆς οὗτοι ἥρωες εἰσέρχονται εἰς τὰ φλογερά σου
» στόματα[2].

29. «Καὶ καθὼς αἱ πυραλλίδες ἐμπίπτουσι μετὰ μεγάλης ὁρ-
» μῆς τῷ φλογερῷ πυρὶ εἰς ἑαυτῶν φθορὰν, οὕτω καὶ οἱ
» ἄνθρωποι ἐμβαίνουσιν ὁρμῇ βιαίᾳ τοῖς σοῖς στόμασιν,
» ἐπὶ τῇ οἰκείᾳ ἀπωλείᾳ.

30. «Σὺ μὲν οὖν μασσᾷς ἐν τοῖς πυρίνοις σαυτοῦ στόμασι,
» καὶ καταπίνεις τοὺς ἐν κόσμῳ ἁπαξάπαντας· αἱ δὲ ὀ-
» ξεῖαί σου ἀκτῖνες[3] διήκουσαι θερμαίνουσι[4] τὸν κό-
» σμον ταῖς θερμότησι.

31. «Εἰπέ μοι, ὦ θεῶν ἄριστε, τίς εἶ σὺ ὁ φοβερὸς τῇ ὄψει;
» Ἵλεώς μοι ἔσο[5], δέομαί σου· ἐγὼ ἐπιθυμῶ γνῶναι σὲ
» τὸν ἀρχαῖον· οὐ γὰρ οἶδα τί τοῦτό σου τὸ κατόρθωμα.»

ΚΡΙΣΝΑΣ.

32. «Ἐγώ εἰμι ὁ πανδαμάτωρ[6] χρόνος, ἔφη ὁ Κρισνᾶς, ἕτοι-

1. Ταχύνοντες, σπεύδοντες (Δ. Γ.),

2. Τὸ παράδειγμα τῆς ταχείας ῥεύσεως τῶν ὑδάτων εἰς τὰ πελάγη οὐ γίνεται ἐκ θελήσεως· τὸ δ' ἕτερον παράδειγμα τῆς πτώσεως τῆς πυραλλίδος εἰς τὸ πῦρ γίνεται ἐκ θελήσεως.

3. Τὸ δ' ὀξύ σου φῶς (Δ. Γρ.).

4. Κατακαίουσι (Πρ. Γρ.).

5. Οἴκτειρόν με (Πρ. Γρ.).

6. Πανολέτωρ, παγχάλεπος, πάνδεινος (Δ. Γρ.).

» μος ἐνταῦθα ἀνελεῖν τοὺς πνοὴν ἔχοντας[1]· ἐκτὸς δὲ » σοῦ, οἱ λοιποὶ πάντες οὐ ζήσονται, οἵ τινες πολεμισταί » εἰσιν ἐν ταύταις ταῖς φάλαγξιν[2].

33. «Ἀνάστα οὖν, καὶ κτῆσαι φήμην, νικήσας τοὺς ἐχθροὺς, » καὶ βασιλείας τρύφησον εὐδαίμονος[3]· οὗτοι γὰρ οἱ ἐχ- » θροί σου ὑπ' ἐμοῦ προεθανατώθησαν· σὺ μόνον, ὦ ἀρι- » στερόχειρ[4] γενοῦ τὸ ὄργανον[5].

34. «Ἄνελε οὖν τὸν Δρόναν, καὶ τὸν Βήσμαν, καὶ τὸν Ζαΐα- » τράταν[6], καὶ τὸν Καρνᾶν, καὶ τοὺς λοιποὺς ἥρωας, » τοὺς ὑπ' ἐμοῦ ἀναιρεθέντας· μὴ φοβοῦ, ἀλλὰ πολέμει » καὶ νικήσεις τοὺς ἀντιπάλους.»

ΣΑΝΖΑΪΑΣ.

35. Ὁ μὲν οὖν Ἀρζούνας, τοῦτον τὸν λόγον ἀκούσας τοῦ Κρισνᾶ, προσκυνήσας αὐτὸν πάλιν, ἔφη ἀδιαρθρώτῳ[7] φω- νῇ, εὐλαβούμενος[8], τρέμων, καὶ φοβούμενος.

ΑΡΖΟΥΝΑΣ.

36. «Πρεπόντως οἱ μὲν ἄνθρωποι ἐπὶ τῷ σῷ ὀνόματι ἀγάλ- » λονται καὶ θέλγονται· οἱ δὲ δαίμονες, δεδοικότες, φεύ- » γουσι· τὰ δὲ στίφη πάντα τῶν ἁγίων καὶ ὁσίων προ- » σκυνοῦσί σε.

1. Πᾶσαν πνοήν (Δ. Γρ.).

2. Ἐν τούτῳ τῷ πολέμῳ ἅπαντες ἀπέθανον καὶ ἐκ τοῦ ἑνὸς μέρους καὶ ἐκ τοῦ ἑτέρου, ἐκτὸς τοῦ Ἀρζούνα καὶ τῶν τεσσάρων ἀδελφῶν αὐτοῦ.

3. Ὀλβίου, μεγάλης (Δ. Γρ.).

4. Ὁ Ἀρζούνας ἀριστερόχειρ ἦν, καὶ ἐπιτήδειος τοξότης, ἀμφιδέξιος.

5. Ἐπειδὴ οὗτοι ὑπ' ἐμοῦ προεθανατώθησαν, τουτέστιν εἵμαρτο τούτοις ἅ- πασιν ἀποθανεῖν, διὰ τοῦτο γενοῦ σὺ μόνον τὸ ὄργανον καὶ τὸ ὄνομα.

6. Κατ' ἐτυμολογίαν, νικῶντα ἐν ἁμάξῃ, ἁμαξονίκην.

7. Ἀδιάρθρωτός πως καὶ τρέμουσα φωνὴ, ἐξερχομένη ἐκ τοῦ λάρυγκος ἢ ἐκ φόβου, ἢ ἐκ χαρᾶς.

8. Ἑνώσας τὰς παλάμας.

37. «Πῶς γὰρ οὐκ ἂν προσκυνήσωσι σοὶ τῷ κρείττονι καὶ αὐ-
» τοῦ τοῦ Βράχμα καὶ ἀρχεγόνῳ[1]· σὺ γὰρ εἶ τὸ ἀΐδιον
» ὄν, καὶ ὅ,τι ἀνώτερόν ἐστι τοῦ αἰτίου καὶ τοῦ αἰτια-
» τοῦ, σὺ τοῦτο εἶ[2].

38. «Σὺ εἶ ὁ ἀρχαῖος τῶν θεῶν καὶ ὁ παλαιὸς[3] ἄνθρωπος·
» σὺ εἶ τὸ ὑπέρτατον δοχεῖον τοῦ παντός[4]· σὺ εἶ ὁ γνώςτης
» πάντων καὶ ἄξιος γινώσκεσθαι· σὺ εἶ ἡ ὑψίστη ἕδρα·
» σοὶ τὸ πᾶν τοῦτο συνέχεται.

39. «Σὺ εἶ ὁ Βάτας (ὁ Αἴολος)· σὺ ὁ Ἰάμας (ὁ Πλούτων), ὁ
» Ἀγνὴς (ὁ Ἥφαιστος), ὁ Βαρούνας (ὁ Ποσειδῶν), ἡ Σελή-
» νη· σὺ ὁ Βραχμᾶς, καὶ ὁ Προπάτωρ[5]. Δόξα σοι, δόξα
» σοι, καὶ πάλιν[6] καὶ αὖθις, καὶ χιλιάκις δόξα σοι.

40. «Δόξα σοι καὶ ἔμπροσθεν, καὶ ὄπισθεν, καὶ πανταχόθεν,
» ὦ σὺ τὸ Πᾶν, δόξα σοι. Σὺ εἶ ὁ ἀπειροσθενής, καὶ ὁ
» ἀπειρουργὸς[7], καὶ ὁ τοῦ παντὸς συνοχεύς. Ταῦτ' ἄρα σὺ
» εἶ τὸ Πᾶν.

41. «Ἐγὼ νομίζων σε ἁπλῶς ἄνθρωπον καὶ φίλον, καὶ μὴ γι-
» νώσκων ταύτην σου τὴν δύναμιν, ὅ,τι τολμηρὸν προσ-
» φώνημα ἐξ ἀγνοίας, ἢ ἐκ θάῤῥους φιλίας ἐῤῥέθη ὑπ'
» ἐμοῦ, ὦ Κρισνᾶ, ὦ Ἰαδαβᾶ[8], ὦ φίλε,

42. «Καὶ ὅ,τι κατεφρονήθης ὑπ' ἐμοῦ ἐπ' ἀστεϊσμῷ ἔν τε παι-
» διᾷ καὶ ἐν κλίνῃ, καὶ ἐν καθέδρᾳ, καὶ ἐν Τραπέζῃ, κατ'

---

1. Σὺ γὰρ εἶ ὁ γεννήτωρ καὶ αὐτοῦ τοῦ Ποιητοῦ Βράχμα.
2. Δηλ. τῆς πρώτης ὕλης, καὶ τῶν στοιχείων, καὶ τῶν ἐξ αὐτῶν.
3. Ὁ ἀρχέγονος (Δ. Γρ.).
4. Τουτέστιν εἰς σὲ ἐπανέρχονται τὰ πάντα μετὰ τὴν φθοράν.
5. Ὁ ἀνὴρ ὁ ἀρχαῖος, ὁ ἀρχέγονος· δηλ. ὁ Θεὸς ὁ γεννήτωρ τοῦ Βραχμᾶ.
6. Καὶ αὖ πάλιν (Δ. Γρ.).
7. Ὁ ἀσύγκριτος τοῖς ἔργοις.
8. Ἐτυμολογεῖται ἀπὸ τοῦ Ἰαδοῦ, ὅπερ ἐστὶν ὄνομα τῆς γενεᾶς τοῦ Κρισνᾶ.

» ἰδίαν, ἢ πρὸ ὀφθαλμῶν ἄλλων[1], συγγνώμην αἰτῶ πα-
» σοῦ τοῦ ἀσυγκρίτου καὶ ἀκαταλήπτου[2].

43. «Σὺ γὰρ εἶ ὁ πατὴρ τούτου τοῦ κινητοῦ καὶ ἀκινήτου » κόσμου, καὶ ἄξιος λατρείας[3], καὶ τῶν ἁγίων Πατέ- » ρων ἡμῶν ὁ μείζων· κἂν τῷ τριττῷ κόσμῳ οὐδεὶς ὅ- » μοιός σοι, ὦ ἀσύγκριτε τὴν δύναμιν, τίς οὖν[4] ἕτερος » ἀνώτερός σου;

44. «Διὸ προσπίπτων, καὶ προσκυνῶν ἐξιλεῶ σὲ τὸν Κύριον » καὶ ὑμνητόν· ἀνάσχου μου δέομαι, ὦ Θεέ, καθὼς πα- » τὴρ ἀνέχεται τοῦ υἱοῦ, καὶ ὁ φίλος τοῦ φίλου, καὶ ὁ » ἀνὴρ τῆς γυναικός.

45. «Θεασάμενος τὴν μὴ προοφθεῖσαν θέαν σου ἐχάρην μέν, » τετάρακται δ' ἡ ψυχή μου ἐκ φόβου. Ἐλέησόν με, ὦ » θεῶν Θεέ, καὶ δεῖξόν μοι ἐκείνην τὴν προτέραν μορφήν·

46. «Ἐγὼ γὰρ ἐφίεμαι ἰδεῖν σε στέφανον φέροντα ἐπὶ τῆς κε- » φαλῆς, κορύνην τε καὶ τροχίσκον[5] ἐν ταῖς χερσί· γενοῦ » ἐκεῖνο τὸ πρῶτον σχῆμα, καὶ τετράχειρ[6], ὦ χιλιόχειρ » καὶ παντόσχημε. »

ΚΡΙΣΝΑΣ.

47. «Αὕτη ἡ ὑπερτάτη καὶ ὁλόφωτος[7], καὶ παντοειδής[8], καὶ » ἄπειρος, καὶ ἀρχαία μορφή μου, ἡ ὑπ' οὐδενὸς ἄλλου

---

1. Κατὰ μόνας ἢ παρουσίᾳ (ἄλλων παρόντων) (Δ. Γρ.).
2. Ἀκατανοήτου (Δ. Γρ.).
3. Λατρευτός (Πρ. Γρ.).
4. Πόθεν οὖν (Δ. Γρ.).
5. Εἶδος ὅπλου εἰς σχῆμα τροχίσκου τμητικοῦ, ὅπερ περιφερόμενον ἐν τῷ δακτύλῳ διὰ μιᾶς ὀπῆς, ἣν ἔχει ἐν τῷ μέσῳ, καὶ ῥιπτόμενον, διατέμνει πᾶν τὸ προστυχόν.
6. Ἐνίοτε γάρ, λέγουσιν, ὁ Κρισνᾶς ἐφαίνετο τῷ Ἀρζούνᾳ τετράχειρ.
7. Λαμπρά (Π. Γρ.).
8. Παντοία (Δ. Γρ.).

» προώφθη ἢ ὑπὸ σοῦ, ἐδείχθη σοι ὑπ' ἐμοῦ ἀσμένως ἐκ
» τῆς ἐμῆς δυνάμεως·

48. «Ταύτην δέ μου τὴν μορφὴν οὐχ οἷόν τέ ἐστιν ἄλλῳ, ἐκ-
» τός σου ἰδεῖν, οὔτε διὰ τῆς μελέτης τῶν Βεδῶν καὶ
» διὰ τῶν ἐπῳδῶν, οὔτε διὰ τῶν ἐλεημοσυνῶν, οὔτε διὰ
» τῶν θυσιῶν, ἢ τῶν σκληραγωγιῶν.

49. «Μὴ ἔστω σοι φόβος, μηδὲ παράνοια, τὴν τοιαύτην μου
» φοβερὰν ἰδόντι μορφήν· ἄφοβος δὲ γενόμενος καὶ εὔ-
» θυμος, ὅρα πάλιν τὴν πρώτην ἐκείνην μου μορφήν. »

ΣΑΝΖΑΪΑΣ.

50. Οὕτω μὲν οὖν εἰπὼν ὁ Κρισνᾶς, ἔδειξεν αὖ πάλιν τὴν οἰκείαν καὶ πρώτην ἐκείνην μορφήν, καὶ παρηγόρησε τὸν Ἀρζούναν μειδιάσαντα, μεταγενόμενος πάλιν ἱλαρὸν σῶμα.

ΑΡΖΟΥΝΑΣ.

51. «Ἰδὼν τοῦτό σου τὸ ἀνθρώπειον καὶ ἱλαρὸν σῶμα, ἐγε-
» νόμην ἤδη ἥσυχος καὶ εὔθυμος, καὶ εἰς τὴν οἰκείαν ἦλ-
» θον στάσιν[1]. »

ΚΡΙΣΝΑΣ.

52. «Δυσθεώρητός ἐστιν, ἣν ἐθεώρησας μορφήν μου, καὶ οἱ θεοὶ
» γὰρ ἐπιθυμοῦσιν ἀεὶ θεωρεῖν αὐτήν.

53. «Οὔτε γὰρ τῇ τῶν Βεδῶν μελέτῃ, οὔτε τῇ ἐγκρατείᾳ,
» οὔτε τῇ ἐλεημοσύνῃ, ἢ τῇ θυσίᾳ δυνατόν ἐστιν ὀφθῆναί
» με τοιοῦτον, οἷον εἶδές με.

54. «Ἐγώ, καθ' ὃν τρόπον εἶδές με, γνωσθείην ἂν καὶ ὀφθείην,
» καὶ ἑνωθείην τῷ ἀνθρώπῳ τῇ πρὸς ἐμὲ ἀτενεῖ λατρείᾳ
» καὶ ἀληθείᾳ.

---

1. Φύσιν (Δ. Γρ.).

55. «Ὅς τις ποιεῖ πάντα δι' ἐμὲ, καὶ ἐμὲ γινώσκει τὸ ἄκρον
» ἀγαθὸν, καὶ ἐμὲ θεραπεύει, καὶ καταφρονεῖ τῶν κατα-
» θυμίων πάντων, καὶ φίλα φρονεῖ πᾶσιν, οὗτος ἐμοὶ τυγ-
» χάνει. »

ΚΕΦΑΛΑΙΟΝ ΙΒʹ.

ΑΡΖΟΥΝΑΣ.

1. «Τῶν μὲν οὖν σεϐομένων σε [1], τίνες εἰσὶν οἱ ἄριστοι; οἱ
» θεωροῦντές σε ἄϋλον [2], ἢ οἱ θεωροῦντές σε ὑλικόν [3]; »

ΚΡΙΣΝΑΣ.

2. «Οἵτινες θέμενοι τὴν καρδίαν ἑαυτῶν ἐν ἐμοὶ, καὶ ἀεὶ εἰς
» ἐμὲ ἀφορῶντες, θεραπεύουσί με μετὰ ζέσεως μεγάλης [4],
» οὗτοί εἰσιν οἱ ἄριστοι θεωρητικοί [5].

3. «Οἵ τινες δὲ θεωροῦσί με ἄϋλον, ἄφθαρτον, ἄῤῥητον καὶ
» ἀόρατον, πανταχοῦ παρόντα, ἀκατάληπτον [6], πανδεχῆ [7],
» ἀναύξητον [8] καὶ ἀΐδιον·

4. «Οὗτοι, κυριεύοντες τῶν αἰσθήσεων πασῶν, καὶ νοοῦντες

1. Τῶν ἐχόντων τὴν διάνοιαν πρὸς σὲ καὶ θεωρούντων σε (Δ. Γρ.).

2. Ἄνευ ὕλης καὶ μορφῆς (Δ. Γρ.).

3. Ἐν ὕλῃ καὶ μορφῇ (Δ. Γρ.). Τουτέστι τίνες εἰσὶν ἄριστοι; οἱ θεωροῦντές σε ἄυλον, ἢ οἱ θεωροῦντές σε ὑλικῶς ὡς ἔδειξας ἤδη καὶ εἶπας, ὡς οὐ πάντες βλέπουσί με οὕτω πολύμορφον;

4. Μετὰ πίστεως (Δ. Γρ.).

5. Ἐνταῦθα ἐπαινεῖ τὴν ἐν ὕλῃ θεωρίαν, ὡς εὐκτητον.

6. Ἀκατανόητον (Δ. Γρ.).

7. Τῆς ὕλης δοχεῖον· ἐν αὐτῷ γὰρ τὰ πάντα.

8. Ἄτρεπτον, μὴ ὑποκείμενον τῷ χρόνῳ, μὴ γινόμενον δηλ. μεγάλον ἀπὸ μικροῦ.

» τὰ πάντα ἐξ ἴσου[1], καὶ φίλα φρονοῦντες πᾶσιν, ἀπο-
» λαύουσί μου.

5. «Τῶν μέν τοι[2] ἀσχολουμένων εἰς τὴν κατάληψιν τοῦ ἀΰ-
» λου ὁ πόνος ἐστὶ μείζων[3]· ἡ γὰρ τοῦ ἀΰλου κατάλη-
» ψις δύσκτητός ἐστι[4] τοῖς σῶμα ἔχουσιν.

6. «Ὅσοι δὲ ἀφοσιοῦντες ἐμοὶ πάντα τὰ ἔργα, καὶ ἀφορῶν-
» τες εἰς ἐμὲ, καὶ θεωροῦντες[5] ἀτενεῖ τῇ θεωρίᾳ, σέβον-
» ταί με,

7. «Τούτοις, τοῖς ἐμοὶ ἀναθεμένοις τὴν ἑαυτῶν καρδίαν, ἐγὼ
» γίνομαι ἀπαλλαγὴ καὶ σωτηρία ἐν τάχει ἐκ τοῦ βυθοῦ
» τοῦ θανατηφόρου κόσμου.

8. «Στῆσον οὖν στερεὰν τὴν καρδίαν ἐν ἐμοὶ, καὶ μετὰ θά-
» νατον ἐλεύσῃ πρὸς ἐμὲ ἀναμφιβόλως.

9. «Εἰ δ' οὐ δύνῃ θεῖναι τὴν σαυτοῦ διάνοιαν ἐν ἐμοὶ στε-
» ρεὰν, ἐπιμελοῦ ἀπολαῦσαί μου τῇ συνεχεῖ πρὸς ἐμὲ ἀνα-
» μνήσει[6].

10. «Εἰ δὲ καὶ οὐ δύνῃ τῇ συνεχεῖ ἀναμνήσει[7], ἐργάζου τὰ
» καλὰ ἔργα[8] δι' ἐμέ· ποιῶν γὰρ τὰ ἔργα, τὰ εἰς ἀνα-
» φορὰν ἐμοῦ, εὑρήσεις ἀπάθειαν.

11. «Ἀλλ' ἐὰν μὴ δύνῃ πρᾶξαι τὰ ἐπὶ τῷ ἐμῷ ὀνόματι ἔρ-

---

1. Δηλ. ἀπὸ τοῦ Βράχμα μέχρι τοῦ μύρμηκος θεωροῦσι τὴν αὐτὴν ψυχήν.

2. Τῶν μὲν οὖν (Πρ. Γρ.).

3. Τῶν προσκυνούντων τὸν Θεὸν αἰσθητῶς.

4. Δηλ. δυσχερές ἐστιν ἐννοῆσαι τὸν ἀκατανόητον διὰ τοῦ νοός.

5. Ἔπαινος τῆς ἐν ὕλῃ θεωρίας.

6. Τῇ τοῦ ἐμοῦ ὀνόματος ἀναμνήσει· Ῥὰμ, Ῥὰμ, Ῥὰμ, κτλ.

7. Τῇ συνηθείᾳ (Πρ. Γρ.).

8. Τὰ ἐπὶ τῷ ἐμῷ ὀνόματι καλὰ ἔργα· δηλ. νήστευε, εὔχου, δοξολόγει, πρόσφερε ἄνθη, νηστείαν τῇ ἐνδεκάτῃ τῆς Σελήνης, ἥτις διὰ τὸν Βισνοῦν γίνεται, ὑμνολογίαν καὶ δοξολογίαν.

» γα, ἐλπίζων ἐπ' ἐμὲ καὶ χαλιναγωγῶν σαυτὸν, παρά-
» βλεψον[1] τὸν καρπὸν τῶν ἔργων[2].

12. «Ἡ μὲν γὰρ γνῶσις τῶν Βεδῶν καλλίων ἐστὶ τῆς πρά-
» ξεως[3]· τῆς δὲ γνώσεως καλλίων ἡ θεωρία, τῆς δὲ θεω-
» ρίας, ἡ παράβλεψις τοῦ καρποῦ τῶν ἔργων[4]· ἐκ δὲ τῆς
» παραβλέψεως γίνεται ἀμέσως ἡ ἀθανασία[5].

13. «Ὅστις ἐστὶ φιλόφρων καὶ εὐμενὴς πᾶσι τοῖς ἐμψύχοις,
» καὶ εὔσπλαγχνος, καὶ ἀφίλαυτος[6], καὶ ἀνυπερήφανος,
» καὶ ὁ αὐτὸς ἐν εὐτυχίαις καὶ δυστυχίαις, καὶ ὑπομο-
» νητικὸς,

14. «Καὶ ἀεὶ εὐάρεστος[7], καὶ νήφων, καὶ ἑαυτοῦ κρατῶν»
» καὶ πεποιθὼς ἐμοὶ, καὶ ἀφοσιούμενος τὴν καρδίαν καὶ
» τὸν νοῦν ἑαυτοῦ εἰς ἐμὲ, καὶ λατρεύων ἐμοὶ, οὗτός ἐ-
» στιν ὁ ἀγαπητός μοι.

15. «Ἐξ οὗ ὁ κόσμος οὐ ταράττεται[8], καὶ ὅστις ἐκ τοῦ κό-
» σμου οὐ ταράττεται, καὶ ὅστις ἀπηλλαγμένος ἐστὶν ἡ-
» δονῆς, καὶ φθόνου, καὶ φόβου, καὶ ταραχῆς νοὸς, οὗτός
» ἐστιν ὁ ἀγαπητός μοι.

16. «Ὅστις ἐστὶν ἀνέραστος, καὶ καθαρὸς, καὶ πρόθυμος[9],
» καὶ ἀδιάφορος, καὶ ἄλυπος[10], καὶ καταφρονητὴς τῶν ἐν

---

1. Ἄφες (Δ. Γρ.).

2. Ὅ,τι ἄλλο ἔργον ἀναγκαῖόν ἐστι· θύειν, ἐλεεῖν. Ἡ ἐν πυρὶ θυσία οὐ γίνεται εἰς ἀναφορὰν τοῦ Βισνοῦ, ἀλλὰ τοῦ Ἴνδρα καὶ ἄλλων θεῶν, εἰς κτῆσιν βασιλείας καὶ δόξης.

3. Τῆς οὔσης ἀμοίρου γνώσεως.

4. Ἔπαινος τῆς ἐγκαταλείψεως τοῦ καρποῦ τῶν ἔργων.

5. Ἡ ἀπάθεια (Πρ. Γρ.).

6. Ταπεινὸς, αὐτολεξεί.

7. Εἴτε ἔλαβεν, εἴτε οὐχὶ, δηλ. εὔθυμος.

8. Οὐ φοβεῖται (Δ. Γρ.).

9. Μὴ ῥάθυμος (Δ. Γρ.).

10. Εὔθυμος, ἄφροντις (Δ. Γρ.).

» κόσμῳ [1], καὶ ἐμὲ σέβεται [2], οὗτός ἐστιν ὁ ἀγαπητός μοι.

17. «Ὅςτις οὔτε χαίρει, οὔτε λυπεῖται, οὔτε μισεῖ, οὔτε ἐφίε-
» ται, καὶ εἰς οὐδὲν λογίζεται τὸ καλὸν καὶ κακὸν, καὶ
» ἐμὲ σέβεται [3], οὗτός ἐστιν ὁ ἀγαπητός μοι.

18. »Ὅςτις ἐστὶν ὁ αὐτὸς ἐν ἐχθρῷ καὶ φίλῳ, καὶ ἐν τιμῇ καὶ
» ἀτιμίᾳ, καὶ ἐν ψυχρότητι καὶ θερμότητι, καὶ ἐν χαρᾷ
» καὶ λύπῃ, καὶ οὐδενὶ προσκέχηνε,

19. «Καὶ ὁ αὐτός ἐστιν ἐν ἐπαίνῳ καὶ κατηγορίᾳ, καὶ σιγὴν
» ἀσκῶν, καὶ εὐάρεστος τῷ τυχόντι [4], καὶ ἄοικος, καὶ
» στερεόφρων, καὶ ἐμοῦ λάτρις, οὗτός ἐστιν ἀγαπητός μοι.

20. «Οἵτινες ταύτην τὴν ῥηθεῖσάν μοι ἀθανασίας πρόξενον ἀ-
» ρετὴν πράττουσι προθυμούμενοι, καὶ ἐμὲ τὸ ἄκρον ἀ-
» γαθὸν ποιούμενοι καὶ σεβόμενοι, οὗτοί εἰσιν οἱ ἀγαπη-
» τοί μοι.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

1. «Τοῦτο τὸ σῶμα, ὦ Ἀρζούνα, *Ξέτραν* οἱ θεολόγοι ὀνο-
» μάζουσι, τὴν δὲ ψυχὴν *Ξετραγάν*, διότι γινώσκει,
» τουτέστι φρονεῖ τὰ τοῦ σώματος [5].

2. «Ἐν ἅπασι δὲ τοῖς σώμασιν ἐμὲ γίνωσκε ψυχήν· αὕτη δέ
» ἐστι κυρίως γνῶσις, ἣ διακρίνει τὸ σῶμα καὶ τὴν ψυ-
» χήν [6]· ταύτην ἐγὼ προκρίνω πασῶν τῶν γνώσεων [7].

---

1. Παντὸς ἔργου καὶ ἐπιχειρήματος.
2. Καὶ ἐμὲ λατρεύει (Πρ. Γρ.).
3. Καὶ ἐμὲ λατρεύει (Πρ. Γρ.).
4. Ἐφ' οἱῳδήποτε (Πρ. Γρ.).
5. Τὴν ἐτυμολογίαν λέγει τῆς λέξεως· γινώσκει τὸ σῶμα, ὅτε λέγει, φρονῶν, ὅτι τοῦτό ἐστιν ἐμὸν, καθὼς ὁ γεωργὸς λέγει περὶ τῆς γῆς, ὡς αὕτη ἐστὶν ἐμὴ, ὡς ἐντρυφῶν τοῦ καρποῦ αὐτῆς.
6. Ἡ δὲ γνῶσίς ἐστι διακριτικὴ τοῦ σώματος καὶ τῆς ψυχῆς.—Ἡ δὲ γνῶσίς ἐστι τὸ γνῶναι, ὡς ἄλλο ἐστὶ σῶμα, καὶ ἄλλο ψυχή (Δ. Γρ.).
7. Τουτέστι μαθήσεων, καθὸ ἐξ αὐτῆς γίνεται ἡ ἀθανασία.

3. «Τοῦτο δὲ τὸ σῶμα οἷόν ἐστι κατὰ τὴν φύσιν[1], καὶ ἐνέρ-
» γειαν, καὶ πάθος, καὶ ἐξ οἵου ἀκτῖνος συνίσταται[2], καὶ
» οἷα ἐστὶν ἡ ψυχὴ αὐτοῦ, καὶ οἷα ἡ δύναμις αὐτῆς, ἄ-
» κουσον ταῦτα πάντα παρ' ἐμοῦ ἐν συντομίᾳ,

4. «Ἅπερ πολυειδῶς εἰσι καὶ πολυτρόπως ᾀδόμενα ἐν ταῖς
» Βέδαις[3] καὶ ἐν ἄλλοις βιβλίοις θεοπνεύστοις καὶ σοφῶν
» ἀνδρῶν λόγοις συλλογιστικοῖς καὶ ἀποδεικτικοῖς[4].

5. «Ἡ ὕλη, τὰ πέντε στοιχεῖα, ὁ νοῦς, ἡ διάνοια, ἡ οἴη-
» σις (τὸ φρόνημα), ἡ ἐνθύμησις (φαντασία), αἱ δέκα αἰ-
» σθήσεις, τὰ ὑπὸ τὴν αἴσθησιν, ἡ διάνοια, ἡ αἰσθητικὴ
» δύναμις, ἡ καρδία, αἱ δυνάμεις τῶν πέντε στοιχείων,
» αἱ ἐνέργειαι τῶν πέντε αἰσθήσεων[5],

6. «Ἡ ἀγάπη, τὸ μῖσος, ἡ χαρά, ἡ λύπη, ἡ ἔννοια, ἡ ἐνθύ-
» μησις, ἡ εὐστάθεια καὶ ἀστάθεια, καὶ ἄλλα τοιαῦτα[5],
» ῥηθέντα μοι συντόμως, ἡ σύστασίς ἐστι τοῦ σώματος·

7. «Ἡ ταπείνωσις, ἡ ἀνυποκρισία[6], ἡ ἁπλότης, ὁ οἶκτος, ἡ
» ἀνοχή, ἡ ἰσότης, ἡ πρὸς τὸν διδάσκαλον θεραπεία, ὁ
» ἁγνισμός, ἡ καρτερία, ἡ χαλιναγωγία τῶν παθῶν,

8. «Ἡ τῶν αἰσθήσεων ἐγκράτεια, ἡ ἀνυπερηφανία, τὸ μὴ
» φρονεῖν τὰ τῆς σαρκός, τὸ ἀναθεωρεῖν ὡς ὀδύνη ἐστὶ
» καὶ λύπη ἐν γεννήσει, καὶ θανάτῳ, καὶ γήρατι, καὶ πά-
» θεσιν·

---

1. Ὅτι συνίσταται ἐξ αἰσθήσεων, ἐκ τῆς ὕλης, καὶ ἐκ τῆς ψυχῆς.—Ὅτι ὑλικὸν, καὶ ὅτι ἔχει θέλησιν.

2. Γίνεται (Δ. Γρ.).

3. Λέγεται γὰρ ἐν ταῖς Βέδαις, ὡς «ἐξ ὧν τὰ πάντα γίνονται, τοῦτό εἰμι ἐγώ.»

4. Ἐνταῦθα ἀναιρεῖ τὸν Καπίλαν, ὃς δοξάζει τὴν ὕλην αἰτίαν τοῦ παντός.

5. Τὸ ἀκούειν, τὸ ὁρᾷν, τὸ γεύεσθαι, τὸ ἅπτεσθαι καὶ τὸ ὀσφραίνεσθαι.

5. Ὁ ἔρως, ἡ θέλησις, ἡ σκέψις, ἡ προθυμία, ἡ πίστις, ἡ ἀπιστία, ἡ πεποίθησις, ἡ ἐνθύμησις, ἡ αἰδὼς, ἡ ἀναίδεια, ὁ φόβος, ἡ ἀφοβία, κτλ. πάθη εἰσὶ τῆς διανοίας.

6. Τὸ ταπεινὸν, τὸ ἀνυπόκριτον (Δ. Γρ.).

9. «Ἡ ἀπάθεια ἐν παισὶ, καὶ γυναιξὶ, καὶ οἴκῳ, καὶ ἄλλοις
» κτήμασι, τὸ ταὐτὸν τῆς διαθέσεως ἐν ταῖς ἐπιτυχίαις
» τῶν εὐκταίων καὶ ἀπευκταίων·

10. «Ἡ πρὸς ἐμὲ σπουδαία καὶ ἀτενὴς λατρεία, ἡ ἐν ἡσύχῳ
» τόπῳ διατριβὴ [1], ἡ ἀποστροφὴ ὁμηγύρεως ἀνθρώπων·

11. «Ἡ συνεχὴς σπουδὴ εἰς κτῆσιν τῆς θεογνωσίας, καὶ ἡ
» θεωρία εἰς κτῆσιν τῆς ἀθανασίας, ταῦτα τὰ ῥηθέντα μοι
» ἡ γνῶσίς ἐστιν· ὅ,τι δ' ἐναντίον τούτου, ἄγνοια·

12. «Ὅ,τι δὲ ψυχή ἐστι [2], τοῦτο καὶ δὴ ἐρῶ, ἣν γνοὺς ὁ ἄν-
» θρωπος, ἀθανασίαν εὑρίσκει· ἔστι δὲ ἄναρχος, ἀσύγκρι-
» τος, ὑψίστη, θεία, σαφής τε καὶ ἀσαφής [3]·

13. «Πολύχειρ, πολύπους, πολυόμματος, πολυκάρηνος, πολύ-
» στομος, πολύωτος, πᾶν περιέχουσα [4]·

14. «Φωτίζουσα τὰς αἰσθήσεις [5], ἀμέτοχος αἰσθήσεων [6], ἀσυ-
» ναφὴς [7], παγκρατὴς [8], ἄποιος τῶν ποιοτήτων τροφός [9]·

15. «Τῶν ὄντων τὸ ἔξω καὶ τὸ ἔνδον [10], κινητὴ καὶ ἀκίνη-

---

1. Ἐμφιλοχωρία (Δ. Γρ.).

2. Ἐνταῦθα ἐννοεῖ τὴν ψυχὴν τοῦ παντός.

3. Αὐτολεξεί· οὔτε ἐν εἴδει, οὔτε ἀνείδεος.—Σαφὴς μὲν, διότι ἄνευ ψυχῆς οὐδέν τι δύναται εἶναι· ἀσαφὴς δὲ, διότι οὐδεὶς δύναται εἰπεῖν, ὁποία ἐστὶ τὸ σχῆμα καὶ τὴν μορφήν.—Σαφής τε καὶ ἀσαφὴς, παντουργός τις ἐστι, καί τοι οὐ βλέπεται, ἀλλ' ἐκ τοῦ παντὸς τούτου γινώσκεται, ὡς ἐκ τῆς στάμνου ὁ κεραμεύς.

4. Δηλ. παντοδύναμος καὶ πανσθενής.

5. Δηλ. αὐτή ἐστιν ἡ δύναμις τῆς ἐνεργείας τῶν ὑπὸ τὴν αἴσθησιν, τῶν αἰσθήσεων.

6. «Καὶ τρέχει, καὶ ἅπτεται, ἄνευ χειρῶν καὶ ποδῶν οὖσα, καὶ βλέπει ἄνευ ὀφθαλμῶν, καὶ ἀκούει ἄνευ ὤτων.» (Βέδα).

7. Ἀσυναφής· διότι οὐδενὶ προσφύεται, οὐδὲ συνάπτεται, καὶ πάντα κρατεῖ.

8. Πάντα συνέχουσα, πάντα κρατοῦσα, παντοκρατὴς δηλ.

9. Ἄποιος καὶ τὰς ποιότητας θάλπων, Σάτβαν κτλ.

10. Ὡς ἐπὶ χρυσῆς στάμνου, καὶ ἔξωθεν χρυσός ἐστι καὶ ἔνδοθεν.

» τος[1], ἀκατάληπτος, καθὸ ἀνεπαίσθητος (ἄϋλος), μακρὰν
» καὶ ἐγγύς·

16. «Συνοῦσα τοῖς οὖσι, καὶ δοκοῦσα μὴ συνεῖναι, τῶν ὄντων
» τροφός, ὀλλέτρια, καὶ γεννήτρια[2].

17. «Τῶν φώτων[3] φῶς, τῆς ὕλης ἀνωτέρα, νοῦς, νοερὰ τῷ
» νοΐ, τῇ θεωρίᾳ καταληπτή, καὶ μένουσα ἐν τῇ καρδίᾳ
» πάντων.

18. «Οὕτως ἐν συντομίᾳ[4] εἶπον περὶ σώματος, καὶ γνώσεως,
» καὶ ψυχῆς· ταῦτα δὲ γινώσκων ὁ λατρεύων μοι, ἀξιοῦ-
» ται τῆς ἐντεύξεώς μου.

19. «Ἀμφότερα δὲ τήν τε ὕλην καὶ τὴν ψυχήν, γίνωσκε ἄναρ-
» χα· τὰ δὲ περὶ τὸ σῶμα[5] καὶ τὰς ποιότητας, καὶ τὰ
» λοιπὰ ἡδέα καὶ λυπηρά, γίνωσκε γεγονότα ἐκ τῆς ὕλης.

20. «Καὶ ἡ μὲν ὕλη λέγεται[6] ὄργανον τῆς συστάσεως τῶν
» αἰσθήσεων τοῦ σώματος· ἡ δὲ ψυχὴ ὄργανον τῆς αἰσθή-
» σεως τῶν ἡδέων καὶ ὀδυνηρῶν[7].

21. «Ἡ γὰρ ψυχή, οὖσα ἐν ὕλῃ[8], αἰσθάνεται τῶν ἐκ τῆς ὕλης
» ἀποτελεσμάτων[9]. αἱ δὲ αἰσθήσεις γίνονται αἰτία ταύ-
» τῃ τῇ ψυχῇ τῆς ἐλεύσεως εἰς φύσεις θεῶν ἢ ἀνθρώπων,
» ἢ καὶ ἀλόγων ζώων[10].

---

1. Ἐπὶ τῶν ἀκινήτων· δηλ. ἄνευ ταύτης οὐδὲν συνίσταται, οὔτ' ἔμψυχον, οὔτ' ἄψυχον.

2. Ἐν τῇ γενέσει τοῦ Παντός, καὶ ὀλλέτρια ἐν τῇ φθορᾷ τοῦ Παντός.

3. Τοῦ Ἡλίου, τῆς Σελήνης κτλ.

4. Ἐν συνόψει.

5. Τὸ σῶμα, καὶ τὰς αἰσθήσεις, καὶ τὰ ἐξ αὐτῶν ἀποτελέσματα, τὴν χαρὰν, τὴν λύπην κτλ.

6. Ὑπὸ τοῦ Καπίλα.

7. Ἃ γίνονται ἐκ τῶν αἰσθήσεων.

8. Ἐν σώματι, ὅτε φρονεῖ τὰ τοῦ σώματος.

9. Τῶν ἡδέων καὶ λυπηρῶν.

10. Διὰ γὰρ τῶν αἰσθήσεων οἱ ἄνθρωποι γίνονται θεοί, κυριεύοντες αὐτῶν· μὴ κυριεύοντες δὲ αὐτῶν γίνονται πάλιν ἄνθρωποι, ἢ ἄλογα ζῶα.

22. «Ἡ ψυχή, καίπερ οὖσα ἐν σώματι, κρείττων ἐστὶ [1] (τοῦ » σώματος), καθὸ ἔφορος, ζώπυρον, συστατική, συνεκτική, » τροφός, μεγάλη ἡγεμὼν καὶ ὑπέρτατον ὄν.

23. «Ὅστις οὕτω γινώσκει τὴν ψυχὴν καὶ τὴν ὕλην σὺν ταῖς » ποιότησιν, οὗτος, εἰ καὶ παντοίως ζῇ [2], οὐκ ἀναγεν- » νᾶται.

24. «Εἰσὶν οἱ γινώσκουσι [3] τὴν ἐν τῷ σώματι ψυχὴν [4] τῇ » θεωρίᾳ, εἰσὶ δ᾽ οἱ τῇ διανοίᾳ, ἕτεροι τῇ γνώσει [5], καὶ » ἄλλοι τῇ ἐγκρατείᾳ, καὶ τοῖς τοῦ νόμου ἔργοις.

25. «Ἄλλοι δὲ, μὴ γινώσκοντες οὕτως, ἀκούοντες δὲ παρ᾽ » ἄλλων, θεωροῦσι [6]· καὶ οὗτοι δὲ, προσέχοντες οἷς ἤκου- » σαν, γίνονται κρείττονες τοῦ θανάτου.

26. «Οἷόν τι τῶν ὄντων ἐστὶν ἔμψυχον ἢ ἄψυχον [7], τοῦτο » ἴσθι γενονὸς ἐκ συναφείας τῆς ψυχῆς τε καὶ τῆς ὕλης [8].

27. «Ὅστις θεωρεῖ τὸν Θεὸν ἐξ ἴσου ὄντα ἐν ἅπασι τοῖς οὖσι [9], » καὶ ἄφθαρτον ἐν φθαρτοῖς, οὗτος θεωρεῖ ὀρθῶς.

28. «Ὁ βλέπων τὸν Θεὸν τὸν αὐτὸν ὄντα πανταχοῦ, οὐκ ἀ- » πόλλυσι τὴν ἑαυτοῦ ψυχὴν τῇ ἀγνοίᾳ, ἀλλὰ τυγχάνει » τῆς ἀθανασίας· ὅστις δ᾽ οὐχ οὕτω βλέπει, οὗτος ἀπόλ- » λυσι τὴν ἑαυτοῦ ψυχὴν σὺν τῷ σώματι [10].

---

1. Ἡ ψυχή, καίπερ οὖσα ἐν σώματι, κρείττων ὅμως ἐστί, καθὸ θεωρός ἐστι (τῶν τοῦ σώματος) καὶ ζώπυρον ἢ συστατική· ἄνευ γὰρ ταύτης τὸ σῶμα οὐ συνίσταται, οὐ διαμένει.

2. Τουτέστιν ἄνευ τοῦ ποιεῖν τὰ τοῦ νόμου.

3. Βλέπουσι (Πρ. Γρ.).

4. Τὸν Θεὸν δηλ.

5. Τῇ φιλοσοφικῇ γνώσει, ὅτι ἑτέρα ἐστὶν ἡ ψυχή, καὶ ἕτερον τὸ σῶμα.

6. Λατρεύουσι (Πρ. Γρ.).

7. Κινητὸν ἢ ἀκίνητον (Πρ. Γρ.).

8. Κατὰ τὸ δόγμα τοῦ Καπίλα.

9. Τοῖς ἐμψύχοις καὶ ἀψύχοις.

10. Ἵνα μὴ εἴπῃ, εἰ τὸ θεῖον ἐν ἅπασι τὸ αὐτό ἐστι, πῶς ἔργα ἀνόμοια θεωροῦνται, ἐν ἄλλοις μὲν καλά, ἐν ἄλλοις δὲ κακά, διὰ τοῦτο λέγει τὰ ἑξῆς.

29. «Ὅςτις βλέπει ἀπαξάπαντα τὰ ἔργα γινόμενα ἐκ τῆς ὕ-
» λης [1], τὴν δὲ ψυχὴν ἀργὴν, οὗτος ὀρθῶς βλέπει.
30. «Ὅταν βλέπῃ τις, ὅτι ἕκαστον τῶν ὄντων εἰς τὴν ὕλην [2]
» ἀναλύεται, καὶ ἐξ ἐκείνης πάλιν συντίθεται, τότε οὗτος
» τυγχάνει τοῦ θείου.
31. «Ἡ ψυχὴ, καθὸ ἄναρχος καὶ ἄποιος, ἔστι καὶ ἀπαθὴς, καὶ
» ἐν σώματι οὖσα, οὔτε ποιεῖ οὐδὲν, οὔτε μολύνεται [3]
» τοῖς ἔργοις καὶ τοῖς αὐτῶν ἀποτελέσμασι [4].
32. «Καθὼς γὰρ ὁ αἰθὴρ πανταχοῦ ὢν, ἐκ τῆς λεπτότητος
» οὐ μολύνεται, οὐδὲ τοῖς βορβόροις [5], οὕτω καὶ ἡ ψυχὴ
» ἐν ἅπασιν οὖσα τοῖς σώμασιν, οὐ μολύνεται [6].
33. «Καὶ καθὼς ὁ ἥλιος, εἷς ὢν, φωτίζει τὸ πᾶν τοῦτο, οὕ-
» τω καὶ ἡ ψυχὴ φωτίζει πᾶν τὸ σῶμα.
34. «Οἵτινες γινώσκουσι τῷ τῆς γνώσεως ὀφθαλμῷ διάστασιν
» τοῦ σώματος καὶ τῆς ψυχῆς, καὶ λύτρωσιν ἐκ τῆς ὕ-
» λης, οὗτοι τυγχάνουσι τοῦ Θεοῦ.

ΚΕΦΑΛΑΙΟΝ ΙΔ΄.

1. «Πάλιν ἐγὼ λέξω σοι σαφῶς, ὦ Ἀρζούνα, τὴν θείαν καὶ
» ὑψηλὴν γνῶσιν, ἧς τυχόντες οἱ θεόφρονες πάντες, ἀπο-
» λαύουσι τῆς ἀθανασίας.
2. «Ἐπὶ ταύτην γὰρ τὴν γνῶσιν ἐρειδόμενοι, ἀπολαύσαντες

---

1. Ἐκ τοῦ σώματος καὶ τῶν αἰσθήσεων.
2. Εἰς τὴν πρώτην ὕλην ἐν τῇ συντελείᾳ τοῦ αἰῶνος· ἐκ τῆς ὕλης συντίθεται ἕκαστον, καὶ εἰς ἐκείνην πάλιν ἀναλύονται, ὡς ὁμοιομερῆ.
3. Καὶ ἐν βορβόροις.
4. Ἀποτελέσματα τῶν ἔργων εἰσὶν ἡ χαρὰ, ἡ λύπη κτλ.
5. Καὶ ἐν βορβόροις (Δ. Γρ.).
6. Οὔτε τοῖς καλοῖς, οὔτε τοῖς κακοῖς ἔργοις.

» ἐμοῦ, οὔτε ἐν τῇ γενέσει ἀναγεννῶνται, οὔτε ἐν τῇ συν-
» τελείᾳ τοῦ αἰῶνος ὀδυνῶνται.

3. «Ἡ ὕλη ἐμή ἐστι μήτρα, ἐν ᾗ τίθημι τὸν γόνον[1]· ἐκ δὲ
» τούτου τοῦ γόνου ἡ γένεσις γίνεται πάντων τῶν ὄντων.

4. «Ὅσα δὲ εἴδη γίνονται ἐξ ἑκάστης φύσεως, τούτων ἡ
» μὲν ὕλη ἐστὶ μήτηρ, ἐγὼ δὲ ὁ σπείρων πατήρ.

5. «Αἱ τρεῖς ποιότητες τῶν ἀνθρώπων, ἡ *Σάτβα*, ἡ *Ῥάγα*,
» καὶ ἡ *Τάμα*, ἐκ τῆς ὕλης γίνονται, καὶ συνδέουσι τὴν
» ἀπαθῆ ψυχὴν τῷ σώματι.

6. «Τούτων δὲ τῶν ποιοτήτων, ἡ μὲν Σάτβα[2], φύσει οὖσα
» ἀμόλυντος, λαμπρά ἐστι, καὶ ἀπαθής, καὶ συνδέει τὴν
» ψυχὴν τῇ χαρᾷ καὶ τῇ γνώσει[3].

7. «Τὴν δὲ Ῥάγαν ἴσθι κεχραμμένην, ἣ γεννᾷ τὴν ἐπιθυμίαν
» καὶ προσπάθειαν, καὶ συνδέει τὴν ψυχὴν τοῖς ἔργοις[4].

8. «Τὴν δὲ Τάμαν ἴσθι γινομένην ὅλην ἄνοιαν ἐκ τῆς ἀνοίας,
» μωραίνουσαν πάντα ἄνθρωπον, καὶ συνδέουσαν τὴν ψυ-
» χὴν τῇ εὐηθείᾳ, καὶ τῇ ῥαθυμίᾳ[5], καὶ τῷ ὕπνῳ.

9. «Ἡ μὲν οὖν Σάτβα συνάπτει τὴν ψυχὴν τῇ χαρᾷ, ἡ δὲ
» Ῥάγα τοῖς ἔργοις, ἡ δὲ Τάμα, καλύπτουσα τὴν γνῶσιν,
» συνάπτει τὴν ψυχὴν τῇ εὐηθείᾳ.

10. «Καὶ Σάτβα μέν ἐστιν, ὅταν ὑπερβαίνῃ τὴν Ῥάγαν καὶ
» τὴν Τάμαν[6], (διὸ καὶ ἐπακολουθεῖ χαρὰ καὶ γνῶσις)·
» Ῥάγα δέ ἐστιν, ὅταν ὑπερβαίνῃ τὴν Σάτβαν καὶ τὴν

---

1. Τὴν ψυχὴν δηλ.

2. Τῆς Σάτβας ἴδια ἡ χαρὰ καὶ ἡ γνῶσις, καὶ διὰ τοῦτο εὐφραίνει τοὺς αὐτὴν ἔχοντας.

3. Δηλ. ὁ ἀπαθὴς καὶ χαίρει, καὶ ἡδύνεται, ὡς ἔμφρων.

4. Δηλ. ὀρέγεται ἀπολαῦσαι, καὶ μετὰ τὸ ἀπολαῦσαι, προσφύεται τῷ κτηθέντι.

5. Τῇ ἀμελείᾳ (Πρ. Γρ.).

6. Ὅταν ὁ ἄνθρωπος ἔχῃ τὴν Σάτβαν πλείονα τῶν ἄλλων δύω, τῆς Ῥάγας καὶ τῆς Γάμας, τότε λέγεται κυρίως Σάτβα, καθὸ καὶ αἱ τρεῖς αὗται διαθέσεις ἅπασαι ἐμπεφύκασι.

» Τάμαν· (δι' ὃ καὶ ἐπακολουθεῖ ἡ ἐπιθυμία καὶ τὰ ἔργα)·
» Τάμα δὲ, ὅταν ὑπερβαίνῃ τὴν Σάτβαν καὶ τὴν Ῥάγαν,
» (δι' ὃ ἐπακολουθεῖ σκότος, ἀργία, εὐήθεια καὶ ἄνοια).

11. «Ὅτε[1] δὲ ἡ γνῶσις γίνεται φῶς[2] ἐν ταῖς θύραις τῶν » πέντε αἰσθήσεων, τότε γίνωσκε αὐξανομένην τὴν Σάτβαν.

12. «Αὐξανομένης δὲ τῆς Ῥάγας, γίνεται ἡ πλεονεξία, ἡ φιλο- » πονία[3], ἡ κτηματολογία[4], ἡ ἀπληστία, καὶ ἡ ἐπιθυμία[5].

13. «Τῆς δὲ Τάμας αὐξηθείσης, ταῦτα γίνονται· τὸ σκότος[6], » ἡ ἀργία, ἡ εὐήθεια, καὶ ἡ ἄνοια.

14. «Ὅταν μὲν οὖν ὁ ἄνθρωπος ἀποθάνῃ, τῆς Σάτβας οὔσης, » τότε πορεύεται εἰς τόπους φωτεινοὺς τῶν θεοφρόνων » καὶ μακάρων.

15. «Ὅταν δὲ, τῆς Ῥάγας οὔσης, ἀποθάνῃ, τότε ἐνσωματοῦ- » ται τοῖς ἀνθρώποις[7]· οὔσης δὲ τῆς Τάμας, ὁ ἀποθα- » νὼν ἐνσωματοῦται τοῖς κτήνεσι[8].

16. «Τὸν μὲν οὖν καρπὸν τῶν τῆς Σάτβας ἀγαθῶν ἔργων » λέγουσιν οἱ σοφοὶ ἄνεσιν· τὸν δὲ καρπὸν τῶν τῆς Ῥά- » γας ἔργων, ὀδύνην· τὸν δὲ καρπὸν τῶν τῆς Τάμας ἔρ- γων, ἄνοιαν[9].

17. «Ἐκ μὲν γὰρ τῆς Σάτβας, γίνεται ἡ γνῶσις, ἐκ δὲ τῆς » Ῥάγας ἡ πλεονεξία, ἐκ δὲ τῆς Τάμας ἡ ῥαθυμία, καὶ ἡ » εὐήθεια, καὶ ἡ ἄγνοια.

---

1. Ἐνταῦθα λέγει τὰ γνωρίσματα τῶν τριῶν ποιοτήτων ὑπερτερουσῶν.

2. Γίνεται φῶς γνώσεως τῶν ὑπὸ τὴν αἴσθησιν, τουτέστιν ἡσυχία καὶ γαλήνη· ὅταν γάρ τις ἔχῃ τὴν Σάτβαν, τότε αἱ αἰσθήσεις γίνονται γαληνιαῖαι.

3. Ἡ συνεχὴς ἐργασία (Πρ. Γρ.).

4. Ἡ ἔναρξις τῶν ἔργων (Πρ. Γρ.).

5. Ἡ ἔφεσις (Δ. Γρ.).

6. Ἡ ἄγνοια (Δ. Γρ.).

7. Οἵ εἰσι φίλεργοι καὶ φιλόκοσμοι.

8. Ἅ εἰσιν ἄλογα καὶ ἄνοα.

9. Τίνα δ' εἰσὶ τὰ ἔργα τῆς Σάτβας καὶ Ῥάγας, καὶ Τάμας, ἐν τῷ ΙΗ. Κεφαλαίῳ λέξει.

18. «Καὶ οἱ μὲν ἔχοντες τὴν Σάτδαν, ἀνέρχονται εἰς τὸν οὐ-
» ρανόν· οἱ δ' ἔχοντες τὴν Ῥάγαν, μένουσιν ἐν τῷ κό-
» σμῳ[1]· οἱ δ' ἔχοντες τὴν χαμερπῆ διάθεσιν, τὴν Τά-
» μαν, καταϐαίνουσιν εἰς τὸν Τάρταρον[2].

19. «Ὅταν ὁ ἄνθρωπος, ἔμφρων ὢν, βλέπῃ μὴ ἄλλον ἐνεργὸν,
» ἀλλ' ἢ τὰς τρεῖς ταύτας ποιότητας[3], καὶ ὅταν γινώ-
» σκῃ τὴν ψυχὴν ἀνωτέραν τούτων τῶν ποιοτήτων[4], οὗ-
» τος τυγχάνει τῆς οὐσίας μου.

20. «Ὁ ἄνθρωπος, νικήσας τὰς τρεῖς ταύτας ποιότητας[5], τὰς
» συμπεφυκυίας τῷ σώματι, ἀπαλλαγεὶς τῶν ὀδυνῶν τῆς
» γεννήσεως, καὶ τοῦ θανάτου, καὶ τοῦ γήρατος, ἀθανα-
» σίας τυγχάνει. »

ΑΡΖΟΥΝΑΣ[6].

21. «Τίσι δὲ σημείοις ὁ ἄνθρωπος ὑπερισχύει τῶν τριῶν τού-
» των ποιοτήτων[7]; καὶ τίς ἡ ἐνέργεια αὐτοῦ; καὶ πῶς,
» ὑπερισχύσας τούτων, διάγει[8]; »

---

1. Γεννῶνται ἐν τῷ βίῳ.

2. Γεννῶνται ἐν διαφόροις εἴδεσι ζώων, σκωλήκων καὶ ὄφεων.

3. Διότι ἡ ψυχὴ οὐδὲν ποιεῖ, ἢ ἐνεργεῖ.

4. Τῶν διαθέσεων (Πρ. Γρ.).—Χωριστὴν τῶν ποιοτήτων· ἡ γὰρ ψυχὴ θεωρὸς μόνον ἐστὶν, οὐχὶ δὲ ἐνεργὸς ἢ συνεργός.

5. Ὅταν γένηται ἀπαθὴς καὶ μηδὲν ἔργον ποιῇ.

6. Ἀκούσας ὁ Ἀρζούνας, ὅτι ἀνώτερος γινόμενος τῶν ποιοτήτων ἀθανασίας τυγχάνει, καὶ μαθεῖν βουλόμενος τὸ σημεῖον καὶ τὴν μέθοδον τῆς κατισχύσεως κατ' αὐτῶν τῶν ποιοτήτων, ἐρωτᾷ.

7. Ἐν τῷ Δευτέρῳ Κεφαλαίῳ ἠρώτησεν ὁ Ἀρζούνας, Τί λαλεῖ ὁ θεόφρων, κτλ. ὁ δὲ Κρισνᾶς ἔδωκε τὴν ἀπόκρισιν· νῦν δὲ πάλιν ἐρωτῶντι καὶ ἐφιεμένῳ μαθεῖν, ἀποκρίνεται, λέγων τὰ σημεῖα καὶ τοὺς τρόπους, καὶ τὴν διαγωγὴν τοῦ μὴ φρονοῦντος τὰ τοῦ σώματος.

8. Τουτέστι τίσι σημείοις, καὶ τίσι τρόποις ὑπερισχύει.

ΚΡΙΣΝΑΣ.

22. «Ὅςτις οὐ μισεῖ τὰ ἐκ τῆς Σάτϐας [1], οὔτε τὰ ἐκ τῆς Ῥά-
» γας [2], οὔτε τὰ ἐκ τῆς Τάμας [3], ὅταν παρῶσιν [4], οὔτε
» ἀγαπᾷ ταῦτα [5], ὅταν ἀπῶσι·
23. «Καὶ ὅςτις μένων ἀδιάφορος [6], οὐ κλονεῖται ὑπὸ τῶν ἐ-
» νεργειῶν τῶν ποιοτήτων [7], καὶ ὅςτις, εἰδὼς ὡς αἱ
» ποιότητες ἐνεργοῦσι τὰς ἑαυτῶν ἐνεργείας, ἀναπαύεται
» καὶ ἀτρέμας ἔχει [8]·
24. «Καὶ ὁ αὐτός ἐστιν ἔν τε τῇ χαρᾷ καὶ τῇ λύπῃ, καὶ ἐν
» ἑαυτῷ ἀναπαύεται [9], καὶ ὅςτις ὁ αὐτός ἐστιν ἔν τε τῇ
» βώλῳ, καὶ λίθῳ, καὶ χρυσῷ [10], καὶ ἐν τῇ ἀγάπῃ καὶ μί-
» σει, καὶ ἐν τῇ πρὸς ἑαυτὸν κατηγορίᾳ, καὶ ἐπαίνῳ,
» καὶ καρτερικός·
25. «Καὶ ὁ αὐτός ἐστιν ἔν τε περιποιήσει καὶ περιφρονήσει,
» καὶ ἐν τῷ φίλῳ καὶ ἐχθρῷ, καὶ ὅςτις καταφρονεῖ τῶν
» φαινομένων καὶ μὴ φαινομένων [11], οὗτος ὑπερισχυκὼς λέ-
» γεται τῶν ποιοτήτων.
26. «Ὅςτις ἐμὲ θεραπεύει τῇ συνεχεῖ λατρείᾳ, οὗτος, νικήσας
» τὰς τρεῖς ταύτας ποιότητας, ἀξιοῦται τῆς θείας οὐσίας.
27. «Ἐγώ εἰμι ἡ εἰκὼν τοῦ Θεοῦ, καὶ τῆς αἰωνίου ἀθανασίας,
» καὶ τῆς αἰωνίου ἀρετῆς, καὶ τῆς μόνης χαρᾶς.

---

1. Ἥ ἐστιν ἡ φρόνησις.
2. Δηλ. τὸ πονεῖν, τὸ τρώγειν.
3. Δηλ. τὸ ὑπνοῦν.
4. Ἐπειδὴ οἶδεν, ὡς ἐκ φύσεως ταῦτα πάρεισι.
5. Τὴν φρόνησιν, τὸν πόνον, καὶ τὴν ἄνεσιν.
6. Δηλ. θεωρητικός ἐστι.
7. Τοῦ πόνου καὶ τῆς ἀνέσεως.
8. Ἐν τῷ ἀνωτέρῳ στίχῳ εἶπε τὰ σημεῖα· νῦν δὲ λέγει τίς ἡ διαγωγὴ καὶ ἡ πρᾶξις αὐτοῦ.
9. Ἐφ' ἑαυτοῦ μένει (Π. Γρ.) (ἀνενδεής ἐστι).
10. Τὸ αὐτὸ, ἤτοι ἐξίσου κρίνει τήν τε χαρὰν καὶ τὴν λύπην κτλ.
11. Τῶν ἐπιγείων καὶ οὐρανίων.

ΚΕΦΑΛΑΙΟΝ ΙΕ'.

1. «Τοῦτον τὸν κόσμον οἱ σοφοὶ λέγουσιν αἰώνιον δένδρον [1], » ἄνωθεν μὲν ἔχον τὴν ῥίζαν [2], κάτωθεν δὲ τοὺς κλά- » δους [3], τὰ δὲ φύλλα αὐτοῦ εἰσὶν αἱ Βέδαι [4]. Ὅστις οὖν » γινώσκει τοῦτο τὸ δένδρον, οὗτός ἐστιν εἰδήμων τῶν » Βεδῶν.

2. «Τούτου τοῦ δένδρου οἱ κλάδοι ἐντεταμένοι εἰσὶν ἄνω καὶ » κάτω [5], καὶ ηὐξημένοι ὑπὸ τῶν ποιοτήτων [6]· τὰ δὲ » πρόσφατα φύλλα εἰσὶ τὰ ὑπὸ τὴν αἴσθησιν· αἱ δὲ στε- » ρεαὶ κάτω ῥίζαι [7] εἰσὶ τὰ ἔργα [8] ἐν τῷ βροτείῳ κό- » σμῳ [9].

3. «Τούτου μὲν οὖν τοῦ δένδρου τὸ εἶδος οὐ καταλαμβάνε- » ται οὕτως, ὡς ἐῤῥέθη, οὔτε τὸ τέλος, οὔτε ἡ ἀρχή, » οὔθ' ἡ ὕπαρξις αὐτοῦ [10]. Τοῦτο δὲ τὸ στερεὸν κατὰ τὰς » ῥίζας δένδρον, ἀφ' οὗ διατέμῃ ὁ ἄνθρωπος τῷ τῆς απα- » θείας στερεῷ ξίφει,

---

1. Τὸν Κόσμον ὁμοιοῖ δένδρῳ.
2. Ἥτις ἐστὶν ὁ Θεός.
3. Οἵτινές εἰσιν οἱ θεοὶ καὶ τὰ ἔμψυχα πάντα.
4. Καρποὶ δὲ αὐτοῦ τοῦ δένδρου τὰ ἔργα πάντα.
5. Καθὸ οἱ μὲν θεοὶ καὶ οἱ δαίμονες ἄνω εἰσὶν ἐν οὐρανῷ καὶ ἐν αἰθέρι· οἱ δ' ἄνθρωποι καὶ τὰ λοιπὰ ἔμψυχα πάντα, καὶ οἱ ὑποχθόνιοι θεοί τε καὶ δαίμονες, κάτω ἐν γῇ καὶ ὑπὸ γῆν. Πάντα δὲ ταῦτα, οἵ τε θεοὶ καὶ οἱ δαίμονες καὶ τὰ ἔμψυχα, μετέχουσι τῶν τριῶν ποιοτήτων. Λέγεται δὲ, ὡς μὲν ἡ Σάτβα ἐστὶν οἰκεία τῷ Βισνοῦ, ἡ δὲ Ῥάγα τῷ Βράχμᾳ, ἡ δὲ Τάμα τῷ Σίβᾳ.
6. Καθὼς οἱ κλάδοι τοῦ δένδρου αὐξάνουσι τῇ ἀρδείᾳ τοῦ ὕδατος.
7. Δύω ῥίζας, ἡ ἄνω, ἥ ἐστιν ὁ Θεὸς, καὶ ἡ κάτω, ἥ ἐστι τὰ ἔργα.
8. Διὰ γὰρ τῶν ἔργων οἱ ἄνθρωποι δέδενται· καὶ οἱ μὲν ἔρχονται πάλιν εἰς τὸν κόσμον, οἱ δὲ καταπίπτουσιν εἰς τὸν Ἅδην.
9. Ἐν γὰρ τῷ βροτείῳ κόσμῳ εἰσὶ τὰ ἔργα.
10. Ὅτι ἔχει τὴν ῥίζαν ἄνω, καὶ ἄλλα τοιαῦτα ἀλληγορικά.

4. «Ἀναζητητέον ἐστὶν ἐκεῖνο τὸ ἕδος, εἰς ὃ πορευθέντες οὐκ » ἐπανέρχονται ἔτι· τὸ γὰρ ἕδος ἐκεῖνο, τὸ ἀρχαῖον Ὄν, » ἐγώ εἰμι [1], ἐξ οὗ τὸ πᾶν τοῦτο, τὸ ἀρχαῖον καὶ ἄπειρον.

5. «Ἐκεῖνο δὲ τὸ ἄτρεπτον ἕδος ἀπολαμβάνουσιν οἱ ἔμφρο-» νες, ἄνευ οἰήσεως [2] ὄντες καὶ φρονήματος [3], καὶ νικη-» ταὶ τῶν παθῶν, καὶ ἀμέτοχοι παντὸς ἔρωτος, τῇ ἀδια-» λείπτῳ θεογνωσίᾳ, καὶ ἀπηλλαγμένοι τῶν δύο ἐναντίων, » ὧν ὄνομά ἐστι Χαρὰ καὶ Λύπη.

6. «Ἐκείνην τὴν ἕδραν ὁ ἥλιος οὐ φωτίζει, οὔτε ἡ σελήνη, » οὔτε τὸ πῦρ [4], ἧς τυχόντες οἱ ἄνθρωποι, οὐκ ἐπανέρ-» χονται ἐνθάδε. Ἐκεῖνος δ' ὁ ὕψιστος δόμος ἐμός ἐστιν.

7. «Ἡ ἀεὶ ἐνοῦσα ψυχὴ ἐν πᾶσι τοῖς ἐμψύχοις, ἀπόῤῥοια ἐμή » ἐστιν· ἡ ψυχὴ δ' αὕτη μεθέλκει [5] καὶ τὰς αἰσθήσεις [6], » αἵ περ ἔνεισι τῷ σώματι.

8. «Ὅ,τι ἐνδύεται τὸ σῶμα, καὶ πάλιν ἐκδύεται αὐτὸ, καὶ » κύριόν ἐστι, καὶ ὅ,τι λαβὸν τὰς αἰσθήσεις [7], συμπορεύε-» ται [8], καθὼς ὁ ἀὴρ τὴν ὀσμὴν ἐκ τοῦ ἄνθους, τοῦτο ἐμή » ἐστιν ἀπόῤῥοια.

9. «Αὕτη ἡ ψυχὴ, ἐπερειδομένη [9] τῇ ἀκοῇ, καὶ τῇ ὁράσει, » καὶ τῇ ἀφῇ, καὶ τῇ γεύσει, καὶ τῇ ὀσφρήσει, καὶ τῇ » καρδίᾳ [10], ἐντρυφᾷ τοῖς ὑπὸ τὴν αἴσθησιν.

---

1. Ἢ ἐγὼ οἰκῶ.

2. Ἀνυπερήφανοι ὄντες (Πρ. Γρ.).

3. Καὶ ἀπαθεῖς (Πρ. Γρ.).

4. Αὐτόφωτος γάρ ἐστι.

5. Ἕλκει (Πρ. Γρ.).

6. Τουτέστι κατακοιμίζει τὰς αἰσθήσεις, καθὼς ἐν τῷ ὕπνῳ καὶ ἐν τῇ συντελείᾳ, καὶ πάλιν ἐξεγείρει αὐτὰς μετὰ τὸν ὕπνον, καὶ μετὰ τὴν συντέλειαν. Πέντε αἱ αἰσθήσεις· προστιθεμένης δὲ καὶ τῆς καρδίας, γίνονται ἕξ.

7. Αἱ αἰσθήσεις εἰσὶ τὸ διαφανὲς καὶ λεπτὸν σῶμα.

8. Ἀφ' ἑνὸς σώματος εἰς ἄλλο.

9. Ἢ βοηθουμένη.

10. Καρδία, τὸ γνωστικὸν μέρος τῆς ψυχῆς.

10. «Οἱ μὲν ἄνοες οὐ θεωροῦσι ταύτην τὴν ψυχὴν, ἐκβαίνουσαν[1] καὶ ἐμβαίνουσαν τῷ σώματι, καὶ ἐντρυφῶσαν τοῖς » ὑπὸ τὴν αἴσθησιν, καὶ συνοῦσαν ταῖς αἰσθήσεσι· θεωροῦσι δὲ οἱ ὁρῶντες τῷ τῆς ψυχῆς ὀφθαλμῷ[2].

11. «Οἱ μὲν οὖν καθαροὶ τὴν καρδίαν, διὰ τῆς ἐπιμελοῦς θεωρίας θεωροῦσι ταύτην τὴν ψυχὴν, ἐνοῦσαν τῷ σώματι· » οἱ δὲ μὴ καθαροὶ τὴν καρδίαν, καίτοι φιλοσοφοῦντες » καὶ ἐρευνῶντες[3], οὐ βλέπουσιν αὐτὴν, ἄφρονες[4] ὄντες.

12. «Τὸ ἐν τῷ ἡλίῳ φῶς, ὃ φωτίζει πάντα τὸν κόσμον, καὶ » τὸ τῆς σελήνης, καὶ τὸ τοῦ πυρὸς γίνωσκε ἐμόν.

13. «Ἐγὼ, ἐπερείδων τὴν γῆν, πάντα τὰ ὄντα[5] συνέχω τῇ » ἐμῇ δυνάμει. Ἐγὼ, γινόμενος ἡ ὑγρὰ σελήνη, πιαίνω πάντα τὰ ἐκ τῶν φυτῶν καὶ βοτανῶν[6].

14. «Ἐγὼ, γινόμενος τὸ ἐν τῷ στομάχῳ πῦρ[7], καὶ εἰσδύων » ἐν τῷ σώματι τῶν ἐμψύχων, καὶ συνὼν τῷ διὰ τοῦ » στόματος καὶ κώλου[8] πνεύματι, τὴν τετραειδῆ[9] πέπτω τροφήν.

---

1. Ἥτις ἐξέρχεται ἀφ' ἑνὸς σώματος, καὶ εἰσέρχεται εἰς ἄλλο.

2. Ἐνταῦθα λέγει, ὡς ἡ ψυχὴ δυσκατάληπτός ἐστι τοσοῦτον, ὥστε καὶ ὑπὸ σοφῶν ἐνίων οὐ γινώσκεται.

3. Καίτοι τρόπους ποιούμενοι (Πρ. Γρ.).

4. Ῥᾴθυμοι ὄντες (Πρ. Γρ).

5. Ἔμψυχα καὶ ἄψυχα.

6. Λέγονται ὅσα φυτὰ ξηραίνονται μετὰ τὸ διδόναι τὸν καρπὸν, ὡς ἡ ὄρυζα, καὶ ἡ κριθὴ, καὶ ὁ σῖτος, καὶ ἄλλα τοιαῦτα.

7. Καὶ ἐν τῷ στομάχῳ ἐστὶ πῦρ, ὅπερ εἰονεὶ κατακαίει, καὶ εἰς πέψιν φέρει τὰ εἰσφερόμενα.

8. Ἄνευ γὰρ τοῦ ἐξέρχεσθαι τὸν ἀέρα ἐκ τοῦ στόματος καὶ ἀφεδρῶνος, οὐ δύναται ζῆσαι τὸ ἔμψυχον.

9. Τετραειδής ἐστιν ἡ τροφὴ κατὰ τοὺς Ἰνδούς. Α'. Λέγεται τὸ βρῶμα, ὅπερ συνίσταται ἐκ πεφριγμένων καὶ τρωγαλίων, οἷον κριθῶν, ἢ ὀρυζῶν, ἢ ἐρεβίνθων πεφριγμένων, ἢ ἄλλων τοιούτων ἀκροδρύων, οἷον ἀμυγδάλων, ἢ καρύων. Β'. δὲ τὸ ἐξ ἄρτου ἢ ὀσπρίων ἑψημένων ἢ κρέατος ἑφθομένου ἢ ὀπτωμένου. Γ'. δὲ τὸ ὑδατῶδες ἢ γαλακτῶδες, ἢ ἔνζωμον, ὅπερ ἐκροφᾶται. Δ'. δὲ τὸ ἐκμυζόμενον, οἷον ὀστέον, ἢ ζακχαροκάλαμος, ἢ ἄλλο τι τοιοῦτον.

15. «Ἐγώ εἰμι ὁ ὢν[1] ἐν ταῖς καρδίαις πάντων· ἐξ ἐμοῦ γί-
» νεται ἡ μνήμη, καὶ ἡ γνῶσις, καὶ ἡ ἐξάλειψις αὐτῶν·
» ἐγὼ γνωστὸς γίνομαι ἐκ τῶν Βεδῶν[2]· ἐγώ εἰμι ὁ ποιη-
» τὴς τῆς θεολογίας, καὶ ὁ εἰδήμων τῆς Βέδας.

16. «Δύω ἐστὸν τὼ ὄντε ἐν τῷ κόσμῳ, τὸ φθαρτὸν καὶ τὸ
» ἄφθαρτον· καὶ τὰ μὲν ἄλλα πάντα λέγονται φθαρτὰ,
» ἡ δὲ ψυχὴ ἄφθαρτος.

17. «Τὸ δὲ ἀνώτατον Ὂν ἄλλο ἐστὶ, λεγόμενον[3] *Παραμάτ-*
» *μα*, ὃ, εἰσδύον τὸν τριττὸν κόσμον, τρέφει τὰ πάντα,
» ἀΐδιον καὶ κύριον ὄν.

18. «Ἐξ οὗ μὲν δὴ ἐκτός εἰμι τοῦ φθαρτοῦ, καὶ ὑπεράνω τοῦ
» ἀφθάρτου[4], ἐκ τούτου ὑπεξούσιός εἰμι, γνωστὸς ἐν τῷ
» κόσμῳ καὶ ἐν τῇ Βέδᾳ.

19. «Ὅςτις οὖν οὐκ ἄφρων ὤν, γινώσκει ἐμὲ ὑπερούσιον, ὡς
» εἴρηται, οὗτοσὶ πάντα γινώσκει, καὶ πάντα τρόπον
» θεραπεύει με.

20. «Αὕτη μὲν οὖν ἡ μυστικωτάτη ἐπιστήμη ἐῤῥέθη σοι ὑπ'
» ἐμοῦ. Ταῦτα δ' εἰδὼς ὁ ἄνθρωπος, συνετὸς καθέστηκε,
» καὶ ἐργάτης τῶν ἀξίων πράττεσθαι.

ΚΕΦΑΛΑΙΟΝ ΙϚ'.

1. «Ἡ μὲν οὖν ἀφοβία, ἡ τῆς ψυχῆς ἄνεσις, ἡ περὶ τὴν
» θεωρίαν διαμονὴ, ἡ δόσις, ἡ ἐγκράτεια τῶν παθῶν, ἡ
» θυσία[5], ἡ ἀνάγνωσις τῶν Βεδῶν[6], ἡ ἄσκησις[7], ἡ ἰσότης,

---

1. Ὁ ἐνδυόμενος (Πρ. Γρ.).
2. Διὰ τῶν Βεδῶν δηλ. γινώσκομαι.
3. Ἐν τῇ Βέδᾳ.
4. Ὅπερ ἐστὶν ἡ ψυχή.
5. Ἐν τῇ γενέσει τῆς σελήνης καὶ πληρώσει νόμος ἐστὶ τὸ θύειν, τὸ ῥίπτειν ἐν τῷ πυρὶ κριθὴν, ἢ ὄρυζαν, καὶ ἄλλους καρποὺς, καὶ βούτυρον.
6. Ἤτοι ἡ μελέτη τῶν Γραφῶν· αὕτη δέ ἐστιν ἡ μυστικὴ θυσία.
7. Περὶ τῆς ἀσκήσεως ἐν τῷ ἑπομένῳ Κεφαλαίῳ ἐρεῖ.

2. «Ἡ ἀποχὴ τοῦ φόνου[1], ἡ ἀλήθεια, ἡ ἀοργησία, ἡ ἐλευθε-
» ριότης, ἡ ἀταραξία τοῦ νοὸς (ἡσυχία), ἡ ἀσυκοφαντη-
» σία, ὁ περὶ τὰ ἔμψυχα οἶκτος, ἡ αὐτάρκεια, ἡ πραό-
» της, ἡ αἰδὼς[2], ἡ εὐστάθεια,

3. «Ἡ ὀξύτης, ἡ ἐπιμέλεια, ἡ ἀνοχὴ, ἡ καρτερία, ἡ ἁγνό-
» της, ἡ εὐμένεια καὶ ἡ ἀφιλοτιμία[3], ταῦτα πάντα γί-
» νονται τῷ ἀφορῶντι εἰς τὴν εὐδαιμονίαν[4].

4. «Ἡ δ' ὑπόκρισις, ὁ κόμπος, ἡ οἴησις, ἡ ὀργὴ, ἡ σκληρό-
» της, καὶ ἡ ἄγνοια, γίνονται τῷ ἀφορῶντι εἰς τὴν κα-
» κοδαιμονίαν[5].

5. «Ἡ μὲν δὴ εὐδαιμονία διὰ τῆς ἀπαθείας[6] γίνεσθαι δοκεῖ,
» ἡ δὲ κακοδαιμονία διὰ τῆς ἐμπαθείας. Μὴ ἀθύμει, ὦ
» Ἀρζούνα, σὺ γὰρ εἶ ἀφορῶν εἰς τὴν εὐδαιμονίαν.

6. «Δύω εἰσὶν αἱ φύσεις τῶν ἀνθρώπων ἐν τούτῳ τῷ κό-
» σμῳ, ἡ μὲν θεία, ἡ δὲ δαιμονιώδης· καὶ ἡ μὲν θεία
» ἐῤῥέθη μοι ἐκτεταμένως, τὴν δὲ δαιμονιώδη ἄκουσον
» παρ' ἐμοῦ.

7. «Οἱ δαιμονιώδεις ἄνθρωποι οὐ γινώσκουσιν οὔτε τὴν πρᾶ-
» ξιν τῶν καλῶν ἔργων, οὔτε τὴν ἀποχὴν τῶν κακῶν·
» οὐ γάρ ἐστιν ἐν αὐτοῖς, οὔτε καθαρότης, οὔτ' ἀγα-
» θουργία, οὐδὲ μὴν ἀλήθεια.

8. «Οὗτοι λέγουσι τὸν κόσμον ἀναπόδεικτον[7] καὶ ἀναίτιον[8]

---

1. Ἡ ἀφονευσία (Πρ. Γρ.).
2. Ἡ αἰσχύνη (Πρ. Γρ.).
3. Ἡ ταπεινοφροσύνη.
4. Εὐδαιμονία ἐστὶ ταῦτα τὰ εἰκοσιὲξ προτερήματα, ἐξ ἧς τυγχάνει τῆς ἀθανασίας.
5. Ἐπειδὴ ἀνωτέρω ἐκτεταμένως εἶπε περὶ τῆς εὐδαιμονίας, περὶ δὲ τῆς δαιμονιώδους κακοδαιμονίας συντετμημένως, διὰ τοῦτο ἤδη ἐρεῖ καὶ περὶ αὐτῆς.
6. Διὰ τῆς ἀθανασίας (Δ. Γρ.).
7. Δηλ. οὐ θέλουσι γενέσθαι κατὰ τὰς ἀποδείξεις καὶ μαρτυρίας τῶν Βεδῶν.
8. Θέλουσι τὸν Κόσμον γενέσθαι ἐκ φύσεως, καὶ οὐχὶ ἐκ τῶν ἔργων· φυσικὸν, αὐτόματον δηλ.

» καὶ ἀπρονόητον[1], γινόμενον ἐκ συναφῆς ἀλλήλων[2]· καὶ
» οὐδὲν ἄλλο, ἀλλ' ἢ ὁ Ἔρως ἐστὶν αἴτιος[3].

9. «Τοιούτῳ δ' ὅμως φρονήματι[4] οἱ ἐπιβεβαιούμενοι, διε-
» φθαρμένοι εἰσὶ τὸν νοῦν, καὶ ὀλιγόφρονες, καὶ κακερ-
» γάται εἰς ἀπώλειαν τοῦ κόσμου, καὶ ἐχθροί.

10. «Ἔχοντες γὰρ ἀκόρεστον ἐπιθυμίαν, καὶ συνόντες ὑποκρί-
» σει καὶ οἰήσει, καὶ κόμπῳ, ἐπῳδαῖς τε καὶ γοητείαις
» χρῶνται ἐξ ἀνοίας εἰς κτῆσιν πλούτου, καὶ ἀκάθαρτοί
» εἰσι τὴν βρῶσιν καὶ τὴν πόσιν[5].

11. «Οὗτοι, ἀμέτρους διαλογισμοὺς διαλογιζόμενοι μέχρι τοῦ
» θανάτου, καὶ ἐπ' ἄκρον ἐντρυφῶντες ταῖς ἐπιθυμίαις,
» καὶ τοιαῦτα μόνα φρονοῦντες[6],

12. «Καὶ ἐπιθυμίαις πολλαῖς, ὥςπερ βρόχοις, περιδεδεμένοι,
» καὶ τῇ ἐπιθυμίᾳ καὶ τῷ θυμῷ πεποιθότες, πολλῶν ἀδί-
» κως κτημάτων ὀρέγονται, εἰς τὸ ταῖς ἐπιθυμίαις ἐν-
» τρυφᾷν.

13. «Τοῦτό μοι σήμερον κτητόν ἐστι, διανοούμενοι λέγουσιν·
» ἐκείνου ἀπολαύσω τοῦ καταθυμίου αὔριον· οὗτος ὁ πλοῦ-
» τος ἔστι μοι, καὶ ἐκεῖνος πάλιν ἔσεταί μοι.

14. «Οὗτος ὁ ἐχθρὸς ἀνήρηταί μοι, οἱ δ' ἄλλοι ἀναιρεθήσον-
» ται· ἐγώ εἰμι κύριος, ἐγώ εἰμι ἐντρυφῶν, ἐγὼ ὑπερ-
» πλήρης[7], ἰσχυρὸς καὶ εὔθυμος.

15. «Ἐγώ εἰμι ὄλβιος, καὶ εὐγενής· ἐγὼ θύσω[8], δώσω[9],

---

1. Ἀδιοίκητον (Πρ. Γρ.).
2. Ἄῤῥενος δηλ. καὶ θήλεος.
3. Τοῦ ἄῤῥενος καὶ θήλεος.
4. Ταύτῃ δ' ὅμως τῇ θεωρίᾳ (Πρ. Γρ.).
5. Οἶνον δηλ. πίνουσι, καὶ κρέας τρώγουσιν, ἐπικούρειον δηλ. βίον βιοῦσι·
6. Τὰ τοῦ σώματος δηλ. φρονοῦσι, καὶ οὐδὲν περαιτέρω.
7. Ἀνενδεής (Δ. Γρ.).
8. Θύσω εἰς κτῆσιν φιλίας.
9. Δώσω τοῖς ἐπαινοῦσι.

» εὐθυμήσω· τίς ἐστιν ὅμοιός μοι; Ταῦτα καὶ τὰ τοιαῦτα
» ἀνοηταίνοντες λέγουσιν.

16. «Οὗτοι δ' ὅμως οἱ ἄφρονες καὶ ἄνοες, οἱ ταῖς πολλαῖς
» ἐννοίαις ἐσφαλμένοι, καὶ συμπεριειλημμένοι τῇ ἀνοίᾳ,
» ὡςπερεὶ δυκτίῳ, καὶ ἐκτετηκότες ταῖς περὶ τὰς τρυφὰς
» ἐπιθυμίαις, καταπίπτουσιν εἰς τὸν βορβορώδη Ἅδην.

17. «Καυχώμενοι γὰρ ἐφ' ἑαυτοῖς, καὶ ἐπαιρόμενοι, συνόντες
» πλούτῳ, καὶ δόξῃ, καὶ περιφανείᾳ, θύουσι θυσίας οὐχὶ
» κατὰ νόμον καὶ ἀληθῶς, ἀλλ' ἀλαζονικῶς.

18. «Ἐπιστηριζόμενοι δὲ τῇ οἰήσει, καὶ τῇ δυνάμει, καὶ τῷ
» κόμπῳ, καὶ τῇ ἐπιθυμίᾳ, καὶ τῷ θυμῷ, ἐχθραίνουσι καὶ
» ἀτιμάζουσιν[1] ἐμὲ τὸν ὄντα ἐν τοῖς αὐτῶν σώμασι, καὶ
» ἐν τοῖς τῶν ἄλλων.

19. «Τούτους μέντοι γ' ἐγὼ τοὺς ἐχθροὺς (ἐμοῦ), καὶ σκλη-
» ροὺς, καὶ ἐν ἀνθρώποις ἐλαχίστους, καὶ κακοὺς, ῥίπτω
» αὐτίκα εἰς τὰς ἐν κόσμῳ κακοδαίμονας φύσεις[2].

20. «Μωροὶ γὰρ ὄντες, τυγχάνουσιν ἀλληλοδιαδόχως κακο-
» δαιμόνων φύσεων ἐν ἑκάστῃ τῶν γεννήσεων· μὴ τυγ-
» χάνοντες γὰρ ἐμοῦ, τυγχάνουσι τῆς χαμερποῦς ὁδοῦ[3].

21. «Αὕτη δ' ἡ εἴσοδος τοῦ Ἅδου, ἡ τῆς ψυχῆς ἀπωλεστικὴ[4],
» τριττή ἐστιν· ἡ ἐπιθυμία, ὁ θυμὸς, καὶ ἡ πλεονεξία·
» διὸ ἄφες ταύτην τὴν τριάδα τῶν κακῶν.

22. «Ἀπαλλαγεὶς γὰρ τῶν τριῶν τούτων εἰσόδων τοῦ Ἅδου

---

1. Κακῶς λέγουσι τὰς ἀρετὰς τῶν ἀγαθῶν ἀνδρῶν, τῶν τὴν εὐθεῖαν ὁδὸν ὁδευόντων. Τοιούτους δηλ. ἀγαθοὺς κακῶς λέγοντες, ἐμὲ κακῶς λέγουσι.

2. Εἰς τὰ ἐν κόσμῳ ἔμψυχα, τουτέστιν εἰς λύκον, εἰς ὄφιν, εἰς σκώληκα κτλ.

3. Τῆς ἀλόγου φύσεως.

4. Τὸ τυχεῖν δηλ. ἐλαχίστης φύσεως, σκώληκος ἢ ὄφεως, ὡσπερεὶ ἀπώλειά ἐστι τῆς ψυχῆς.

» ὁ ἄνθρωπος, ἐνεργεῖ τὴν τῆς ψυχῆς σωτηρίαν[1], καὶ ἐκ » τούτου εὑρίσκει τὴν οὐράνιον ὁδόν[2].

23. «Ὅςτις δ', ἀφεὶς τὴν ἐντολὴν τῆς Βέδας, πράττει κατὰ » τὴν ἐπιθυμίαν αὐτοῦ, οὗτος οὐκ ἀπολαμβάνει οὔτε θεο- » γνωσίαν, οὔτ' ἄνεσιν, οὔτε τὴν οὐράνιον ὁδόν.

24. «Ταῦτά τοι καὶ οἱ θεολόγοι φέρουσιν εἰς μαρτυρίαν τὴν » Βέδαν ἐν τοῖς ἀξίοις πράττεσθαι, καὶ μή. Γνοὺς τοίνυν » τὰ παρὰ τῆς Βέδας ἐντεταλμένα, δίκαιος εἶ πράττειν » ἐν τούτῳ τῷ κόσμῳ τὰ ἄξια πράττεσθαι[3].

ΚΕΦΑΛΑΙΟΝ ΙΖ΄.

ΑΡΖΟΥΝΑΣ.

1. «Οἵτινες καταφρονοῦντες τῆς ἐντολῆς τῆς Βέδας[4], θύουσι » προθυμούμενοι, ὁποία ἡ διάθεσις τούτων; ἡ Σάτβα; » ἢ ἡ Ῥάγα; ἢ ἡ Τάμα; »

ΚΡΙΣΝΑΣ.

2. «Μάθε, ὅτι ἡ προθυμία τῶν ἀνθρώπων τριττή ἐστι, γι- » νομένη ἐκ φύσεως, ἡ μὲν Σατβική, ἡ δὲ Ῥαγική, ἡ δὲ » Ταμική.

3. «Ἡ μὲν οὖν προθυμία ἅπασιν ἔνεστι τοῖς ἀνθρώποις, κα- » τὰ τὴν δύναμιν τῶν ποιοτήτων[5]· ὅθεν ἐν οἷᾳ τῶν ποιο-

---

1. Χρῆται δηλ. ἀρετῇ, ἢ σώζει τὴν ψυχήν.

2. Τυγχάνει τῆς ἀθανασίας. — Ἐργαζόμενος γὰρ τὰ ἀγαθὰ τῶν ἔργων, καθαρὸς γίνεται τὴν ψυχήν· καθαρὸς δὲ γενόμενος τὴν ψυχὴν, τυγχάνει θεογνωσίας· θεογνωσίας δὲ τυχὼν, τυγχάνει ἀθανασίας.

3. Ἃ δηλ. ὁ νόμος σου προστάττει.

4. Ἀφέντες τὴν ἐντολὴν τῆς Βέδας (Πρ. Γρ.).

5. Καθὸ ἡ Σάτβα καὶ αἱ λοιπαὶ τῶν ποιοτήτων ἅπασιν ἔνεισι τοῖς ἀνθρώποις, κατὰ τὸ μᾶλλον ἢ ἧττον.

» τήτων ὁ ἄνθρωπός ἐστι μᾶλλον πρόθυμος [1], τοιοῦτος
» καὶ δὴ λέγεται [2].

4. «Καὶ οἱ μὲν ἔχοντες τὴν Σάτϐαν, θύουσι τοῖς θεοῖς, (τοῖς
» ἔχουσι τὴν Σάτϐαν)· οἱ δ' ἔχοντες τὴν Ῥάγαν, τοῖς περὶ
» τὸν θεὸν τοῦ πλούτου, καὶ τοῖς δαίμοσιν· οἱ δ' ἔχοντες
» τὴν Τάμαν, θύουσι τοῖς Πρέταις, καὶ τοῖς Ῥάξαις [3].

5. «Οἵτινες δὲ ποιοῦσιν ἄσκησιν δεινὴν, μὴ προσταχθεῖσαν
» ὑπὸ τῆς Βέδας, συνόντες τῇ ὑποκρίσει, καὶ οἰήσει, καὶ
» ἐπιθυμίᾳ, καὶ ἐμπαθείᾳ, καὶ ἰσχυρογνωμοσύνῃ,

6. «Καὶ σκελευτεύοντες τὸ ὅλον σύστημα τῶν στοιχείων
» τοῦ σώματος, καὶ ἐμὲ, ὄντα ἐν τῷ σώματι, ἄφρονες
» ὄντες, τούτους γίνωσκε σκληροὺς τὴν γνώμην.

7. «Τὸ βρῶμα πᾶσι τριχῶς γίνεται ἀγαπητὸν, ὡσαύτως δὲ
» καὶ ἡ θυσία, καὶ ἡ ἄσκησις, καὶ ἡ ἐλεημοσύνη, ὧν τὸ
» εἶδος καθ' ἓν ἕκαστον ἄκουσον ἐξ ἐμοῦ.

8. «Τὰ βρώματα τὰ εὔχυμα, καὶ λιπαρὰ, καὶ στερεὰ [4], καὶ
» θυμήρη [5], ἅπερ αὐξάνουσι τὴν ζωὴν, καὶ τὴν φαιδρότη-
» τα, καὶ τὴν δύναμιν, καὶ τὴν ὑγείαν, καὶ τὴν εὐθυ-
» μίαν, καὶ τὴν ὄρεξιν, ἐραστά εἰσι τῷ ἔχοντι τὴν Σάτϐαν.

9. «Τὰ δὲ βρώματα [6] τὰ λίαν πικρὰ, καὶ λίαν ὀξέα, καὶ
» λίαν ἁλμυρὰ, καὶ λίαν θερμὰ, καὶ λίαν δρυμέα [7], καὶ
» λίαν στυφὰ, καὶ λίαν καυστηρὰ [8], πρόξενα ὀδύνης, καὶ

---

1. Ἐπιῤῥεπὴς δηλ.

2. Τουτέστιν, εἰ μέν ἐστι πρόθυμος τῇ Σάτϐᾳ, λέγεται Σατϐικὸς, εἰ δὲ τῇ Ῥάγᾳ, Ῥαγικός· εἰ δὲ τῇ Τάμᾳ, Ταμικός.

3. Τοῖς φαντάσμασι δηλ. εἴτε νεκρικοῖς, εἴτε δαιμονικοῖς. Πρέται καὶ Ῥάξαι λέγονται αἱ ψυχαὶ, αἵτινες μὴ τυχοῦσαι τῶν νομίμων καὶ προσηκόντων ἁγνισμῶν, γίνονται φαντάσματα. Τὸ δὲ Πρέται μεῖζόν ἐστι τοῦ Ῥάξαι.

4. Ἐνδυναμωτικὰ δηλ. ἅπερ διαμένει πολὺ, ὥστε πεφθῆναι.

5. Τὰ γλυκέα δηλ. καὶ νόστιμα.

6. Οἱ ἑπτὰ χυμοί.

7. Ὡς τὸ πέπερι.

8. Ὡς τὸ σίνηπι.

» μεταμελείας, καὶ νόσου [1], ἐραστά εἰσι τῷ ἔχοντι τὴν » Ῥάγαν.

10. «Τὸ δὲ βρῶμα τὸ ψυχρὸν [2], καὶ ἄχυμον, καὶ ὀζῶδες, καὶ » ἕωλον [3], καὶ ἡμίβρωτον, καὶ τὸ μὴ ἐκ θυσίας [4], ἐρα- » στόν ἐστι τῷ ἔχοντι τὴν Τάμαν.

11. «Ἡ δὲ θυσία θύεται κατὰ τὴν ἐντολὴν τῆς Βέδας, ὑπ' ἀν- » θρώπων μὴ ἐφιεμένων καρποῦ [5], ἀλλὰ τοῦτο μόνον δια- » νοουμένων, ὅτι θυτέον, αὕτη ἐστὶ θυσία Σατδική.

12. «Οἵα δὲ θυσία θύεται ἐπὶ σκοπῷ καρποῦ, καὶ δι' ἀν- » θρωπαρέσκειαν, ταύτην γίνωσκε θυσίαν Ῥαγικήν.

13. «Τὴν δὲ θυσίαν, τὴν γινομένην ἔξω τῆς προσταγῆς τοῦ » νόμου, καὶ ἄνευ κατασκευῆς βρωμάτων εἰς βρῶσιν Βραχ- » μάνων, καὶ ἄνευ ἐπῳδῆς καὶ δωρεᾶς, καὶ εὐλαβείας, » ταύτην λέγουσι θυσίαν Ταμικήν.

14. «Ἡ δὲ πρὸς τὸν Θεὸν, καὶ Βραχμᾶνα, καὶ διδάσκαλον, » καὶ σοφὸν θεραπεία, καὶ ἡ καθαρότης, καὶ ἡ ἰσότης, » καὶ ἡ σωφροσύνη, καὶ ἡ ἀποχὴ τοῦ φόνου, σωματικὴ » λέγεται ἄσκησις.

15. «Ὁ δὲ λόγος, ὁ μὴ ἀπειλητικὸς [6], καὶ ἀληθὴς, καὶ προσ- » φιλὴς [7], καὶ ὠφέλιμος, καὶ ἡ μελέτη τῆς Βέδας, ἄσκη- » σις λέγεται τῆς γλώσσης.

16. «Ἡ δὲ ἁγνότης τῆς ψυχῆς, καὶ ἡ πρᾳότης, καὶ ἡ θεωρία, » καὶ ἡ χαλιναγωγία τῶν παθῶν, καὶ ἡ περὶ τὴν δοσο- » ληψίαν ἀδολότης, ἄσκησις λέγεται τῆς ψυχῆς [8].

---

1. Καὶ λύπης, καὶ ἀσθενείας (Πρ. Γρ.).
2. Τὸ μετὰ τέσσαρας ὥρας.
3. Τὸ ἐκ τῆς παρελθούσης ἡμέρας.
4. Ἢ τὸ ἀνάξιον καὶ ἀνάρμοστον· δύω γὰρ ἐννοίας ἔχει, ἢ τὸ μὴ ὂν ἐκ θυσίας, ἢ τὸ ἀκάθαρτον, ὡς τὸ ἀπὸ θήρας.
5. Δηλ. ἀνταμοιβῆς, οὐκ ἀποβλεπόντων εἴς τι ἄλλο τέλος δηλ.
6. Ὁ πρᾷος, προσηνής.
7. Ὁ ἡδὺς τῇ ἀκοῇ.
8. Τοῦ νοός.

17. «Ἡ μὲν οὖν ἄσκησις, ἡ γινομένη ὑπ' ἀνθρώπων μετὰ προ-
» θυμίας μεγάλης τριττή ἐστι· καὶ ἡ μὲν γινομένη ὑπ'
» ἀνθρώπων, μὴ ἐφιεμένων καρποῦ, (ἀλλ' εἰς ἓν μόνον,
» τὸ ἄκρον ἐφετὸν, ἀφορώντων), λέγεται Σατϐική.

18. «Ἡ δὲ πράττεται καθ' ὑπόκρισιν, τιμῆς ἕνεκεν, καὶ δόξης,
» καὶ ἀπολαύσεως, καὶ ἀνεπίμονός ἐστι [1] καὶ ἄστατος,
» αὕτη λέγεται Ῥαγική.

19. «Ἡ δὲ πράττεται ἀδιακρίτως, ἐπ' ἄλγει τῆς ψυχῆς, ἢ ἐπ'
» ἀναιρέσει ἄλλου [2], αὕτη λέγεται ἄσκησις Ταμική.

20. «Ἡ δὲ προσήκουσα δόσις δίδοται ἄνευ ἀνταμοιϐῆς κατὰ
» τὸν τόπον [3], καὶ κατὰ τὸν χρόνον [4], καὶ κατὰ τὸν
« ἄξιον [5], αὕτη κρίνεται Σατϐική.

21. «Ἡ δὲ δόσις δίδοται ἐπ' ἀνταμοιϐῇ, ἢ ἐπ' ἐλπίδι μέλ-
» λοντος ἀγαθοῦ, ἢ ἐν δυσθυμίᾳ, αὕτη λέγεται Ῥαγική.

22. «Ἡ δὲ δόσις δίδοται ἐναγεῖ τόπῳ, ἢ ἀναξίοις [6], ἢ ἐν μὴ
» προσήκοντι καιρῷ, ἢ ἄνευ περιποιήσεως [7], ἢ καταφρο-
» νητικῶς [8], αὕτη λέγεται Ταμική.

23. «Τριχῶς ἐστι λεγόμενον τὸ ὄνομα τοῦ Θεοῦ· Ὄμ, Τάτ,
» καὶ Σάτ· ἐκ δὲ τούτου [9] τοῦ τριττοῦ θείου λόγου ἐ-
» ποιήθησαν κατ' ἀρχὰς (ὑπὸ τοῦ Βράχμα) οἱ Βραχμᾶνες,
» καὶ αἱ Βέδαι, καὶ αἱ θυσίαι [10].

---

1. Οὐ μένει ἐπὶ πολὺν καιρόν.

2. Πολλοὶ γὰρ ποιοῦσιν ἄσκησιν εἰς τὸ ἀνελεῖν τὸν ἐχθρόν.

3. Ἁγίοις δηλ. τόποις καὶ ἀξίοις προσκυνήσεως, ὡς ἐν Κασσῇ καὶ Πράγῃ κτλ.

4. Δηλ. κατὰ τὴν ἔκλειψιν, ἢ κατὰ τὴν ἑνδεκάτην τῆς σελήνης, ἢ κατὰ τὴν πανσέληνον, ἢ περὶ τὸ πρωΐ.

5. Βραχμᾶνα δηλ. ἢ μαθηματικόν.

6. Ὀρχησταῖς καὶ γελωτοποιοῖς.

7. Ἄνευ τοῦ ἅψασθαι τῶν ποδῶν καὶ πλύναι αὐτούς, ὡς ἔθος.

8. Δηλ. μετὰ θυμοῦ.

9. Διὰ τούτου (Δ. Γρ.).

10. Ἢ παρὰ τούτου τοῦ Θεοῦ ἐποιήθησαν ἐν ἀρχῇ τῆς κτίσεως τοῦ κόσμου οἱ Βραχμᾶνες, κτλ.

24. «Ὅθεν εἰπόντων τὸ Ὀμ[1] τῶν θεοφρόνων, τὰ ἔργα τῆς » θυσίας, καὶ τῆς δόσεως, καὶ τῆς ἀσκήσεως, γινόμενα » κατὰ τὴν ἐντολὴν, ἀεὶ κατορθοῦνται[2].

25. « Εἰπόντων δὲ τὸ Τὰτ ἄνευ στοχασμοῦ τοῦ καρποῦ, τὰ » πολυειδῆ ἔργα τῆς θυσίας, καὶ τῆς δόσεως, καὶ τῆς ἀσκή- » σεως[3] ὀρθῶς ἐκτελοῦνται ὑπὸ τῶν ἐφιεμένων τῆς ἀπαθείας.

26. «Ἡ δὲ λέξις Σὰτ ἀναφέρεται εἰς τὴν ὕπαρξιν[4], καὶ εἰς » τὴν ἀγαθότητα, καὶ ἐν τοῖς ἀγαθοῖς τῶν ἔργων ὁμοίως » λέγεται.

27. «Καὶ ἡ τῇ θυσίᾳ δὲ ἐγκαρτέρησις[5], ἀλλὰ καὶ πᾶν τὸ » ἐπὶ Θεῷ γινόμενον[6] Σὰτ λέγεται.

28. «Τὸ δὲ μετὰ ῥᾳθυμίας θυόμενον, καὶ διδόμενον, καὶ ἐπ' » ἀσκήσει γινόμενον, καὶ πᾶν ἄλλο τι πραττόμενον, Ἀσὰτ » λέγεται, καὶ οὐδὲν ὄφελος ποιεῖ, οὔτε ζῶντι, οὔτ' ἀπο- » θανόντι.

ΚΕΦΑΛΑΙΟΝ ΙΗ΄.

ΑΡΖΟΥΝΑΣ[7].

1. «Ἐπιθυμῶ γνῶναι κατὰ μέρος τὴν σημασίαν τῆς λέξεως » *Σαννεάσα* καὶ *Τεάγγα*.

---

1. Ἔθος γάρ ἐστι καὶ πρὶν τῆς θυσίας, καὶ μετὰ τὴν θυσίαν ἐκφωνεῖν τὸ Ὀμ, τουτέστιν ἐν παντὶ ἔργῳ ἀγαθῷ τοῦτο τὸ ὄνομα δεῖ λέγειν, ὡς συντελεστικόν.

2. Εἰς ἔκβασιν ἔρχονται (Δ. Γρ).

3. Πολυειδῶς γὰρ καὶ πολυτρόπως γίνονται αἱ θυσίαι, καὶ δόσεις καὶ ἀσκήσεις.

4. Ἐστὶ ἡ Βέδα λέγει.

5. Ἡ ἐπιμονή (Δ. Γρ.).

6. Ἀσκήσει καὶ δόσει, κτλ.

7. Πρότερον εἴρηκεν ὁ Κρισνᾶς, ὅτι ὁ ἐγκαταλείπων πάντα τὰ ἔργα, εὔθυμός ἐστι καὶ Σαννεασὴς ὀνομάζεται· ὁ δὲ ἐγκαταλείπων τὸν καρπὸν τῶν ἔργων, Τεαγγὴς ὀνομάζεται καὶ ἀεὶ εὔθυμός ἐστιν. Ὅθεν, ἐπειδὴ ἐναντία πως ἐστὶν, ἃ εἴρηκεν, ἔργα (μὴ) ποιεῖν, δηλ. καὶ ποιεῖν, διὰ τοῦτο ὁ Ἀρζούνας ἐρωτᾷ·

ΚΡΙΣΝΑΣ.

2. «Οἱ ἔμπειροι σοφοὶ τὴν μὲν ἀποχὴν τῶν ἔργων εἰς ἀπόλαυσιν ἐφετοῦ τινος λέγουσι Σαννεάσαν, τὴν δ' ἀποχὴν τοῦ καρποῦ μόνου πάντων τῶν ἔργων, Τεάγγαν.

3. «Εἰσὶ μὲν δή τινες τῶν Κριτικῶν [1], οἳ λέγουσι τὸ ἔργον τῆς θυσίας, καὶ τῆς δόσεως, καὶ τῆς ἀσκήσεως [2] ἄξιον ἀποχῆς [2], ὡς κακόν· ἄλλοι δὲ πάλιν [3] λέγουσι μὴ εἶναι ἄξιον ἀποχῆς [4].

4. «Σὺ δ' ἄκουσον τὴν ἐμὴν γνώμην [5] περὶ αὐτῆς τῆς Τεάγγας, ὡς τριχῶς λέγεται ὑπὸ τῶν σοφῶν.

5. «Τὸ μὲν οὖν ἔργον τῆς θυσίας, καὶ τῆς δόσεως, καὶ τῆς ἀσκήσεως οὐ φευκτέον, πρακτέον δέ· ἡ γὰρ θυσία, καὶ ἡ δόσις, καὶ ἡ ἄσκησις καθαρτικά εἰσι τῆς ψυχῆς παρὰ τοῖς νοῦν ἔχουσι.

6. «Τὸ δ' ἀφεῖναι [6] τὴν πρόσφυσιν τοῖς ἔργοις τούτοις, τοῖς ἀξίοις πράττεσθαι, καὶ τοὺς καρποὺς, τοῦτο παρ' ἐμοὶ καὶ βέβαιον, καὶ ἄριστον κρίνεται.

7. «Ὥστε ἡ ἀποχὴ τοῦ ὡρισμένου ἔργου οὐκ ἀξία ἐστὶ πράττεσθαι [7], ἐπεί περ ἡ ἐξ ἀμελείας γινομένη ἀποχὴ τούτου λέγεται Ταμική [8].

---

1. Οἱ περὶ τὸν Καπίλαν.

2. Ἡ ἄσκησις, ἡ γίνεται οὐχὶ ἐπὶ ἐπιτεύξει τῆς γνώσεως. — Ἀποστροφῆς (Πρ. Γρ.).

3. Οἱ περὶ τὸν Μιμάνσαν.

4. Ἡ δὲ Βέδα λέγει· «ὁ ἐπιθυμῶν παιδὸς, θυέτω· ὁ ἐπιθυμῶν οὐρανοῦ, θυέτω.»

5. Εἰπὼν ὁ Κρισνᾶς τὰς διαφόρους γνώμας τῶν σοφῶν, λέγει νῦν τὴν ἑαυτοῦ γνώμην.

6. Τὸ ἀναφέρειν ταῦτα εἰς τὸν Θεόν.

7. Οὐκ ἔστιν ἄξιον ἀφεῖναι προσευχὴν καὶ νηστείαν, αἵ εἰσιν ὡρισμέναι.— Οὐ καλῶς γίνεται (Πρ. Γρ.).

8. Ἐνταῦθα λέγει πῶς ἐστι τριττὴ ἡ Τεάγγα.

8. «Ὅςτις δὲ λογιζόμενος τὸν πόνον ἀφίησι τὸ ἔργον, ἵνα » μὴ πονήσῃ τὸ σῶμα, οὗτος, ποιῶν ἀποχὴν Ῥαγικὴν, οὐ » λαμβάνει καρπὸν ἀποχῆς [1].

9. «Ὅ,τι δ' ἔργον λογιζόμενον, ὅτι πρακτέον ἐστὶ, πράττε- » ται ὑπ' ἀνθρώπου ἀναγκαίως [2], ὅταν ἀφῇ τὴν πρόσ- » φυσιν καὶ τὸν καρπὸν, τοῦτο λογίζεται ἴδιον τῆς Σάτβας.

10. «Ὁ δὲ Σατβικὴν ἔχων ἀποχὴν [3] καὶ φρόνησιν, καὶ ἐκ δι- » σταγμοῦ [4] ἀπέχων, οὔτε ἀποστρέφεται τὸ δυσάρεστον » ἔργον [5], οὔτε μὴν ἥδεται τῷ ἀρεστῷ [6].

11. «Οὐκ ἔστι δυνατὸν τῷ ἀνθρώπῳ ἀφιέναι τὰ ἔργα παν- » τελῶς [7]· ὅςτις δὲ ποιῶν ἔργα, ἀπέχει τοῦ ἐκ τῶν ἔρ- » γων καρποῦ παντελῶς, οὗτος λέγεται ἀληθῶς Τεήγγας.

12. «Ὁ τῶν ἔργων καρπὸς τριττὸς ὢν, ἀνέραστος [8] (κακὸς),

---

1. Καθὸ ἡδονικὸς καὶ τρυφηλὸς οὗτος, ὁ δ' ἀνωτέρω καθὸ ἀμελὴς, ὡς λαμβάνει καρπὸν ἀποχῆς, ὁ ὢν ἐν θεωρίᾳ καὶ θεοφροσύνῃ.

2. Κατὰ τὴν ἐντολὴν τοῦ νόμου, διότι οὕτως ὁ νόμος ἐπιτάττει.

3. Ὁ ἀπέχων τοῦ καρποῦ τῶν ἔργων.

4. Ἐκ ψευδοῦς ἐννοίας, καὶ ματαιότητος, τὴν μὲν ἄνεσιν ἀγαπᾷν, τὸν δὲ πόνον μισεῖν.

5. Καθὼς ἐν τῷ χειμῶνι, ὅτε ψύχος ἐστὶ πολὺ περὶ τὸ πρωΐ, τὸ λούεσθαι, ὅπερ ἐστὶ δυσάρεστον. Τρεῖς γὰρ ὧραι τῆς προσευχῆς καὶ λουτροῦ παρ' Ἰνδοῖς, ὡς ἐν τῇ Βέδᾳ διαλαμβάνεται, ἡ μὲν περὶ τὴν ἀνατολὴν τοῦ ἡλίου, ἡ δὲ περὶ τὴν μεσημβρίαν, ἡ δὲ περὶ τὴν δύσιν.

6. Καθὼς τὸ λούεσθαι περὶ τὴν μεσημβρίαν, θέρους ὄντος, ὅπερ ἐστὶ καὶ ἀρεστὸν, καὶ θυμῆρες.

7. Ὡς πρότερον εἴρηκεν, ὅτι ὁ ἄνθρωπος οὐδέποτε μένει ἀργός.

8. Ἀνέραστος μὲν καρπὸς λέγεται, ὅταν πορεύηται εἰς τὸν ᾞδην διὰ τὴν κακίαν, ἣν ἔπραξεν· ἐραστὸς δὲ, ὅταν πορεύηται εἰς τὸν παράδεισον διὰ τὴν ἀρετήν· μικτὸς δὲ, τουτέστιν οὔτ' ἀνέραστος, οὔτ' ἐραστὸς, ὅταν μετεμψυχῶται ἐν τῷ κόσμῳ διὰ τὴν κακίαν καὶ ἀρετὴν, ἔνθα ἐστὶ καὶ καλὸν καὶ κακόν. Ὅτε μὲν γὰρ ὁ ἄνθρωπος καὶ κακὰ, καὶ ἀγαθὰ ἐργάζεται, ἔρχεται εἰς τὸν κόσμον τοῦτον τὸν πρόσκαιρον, ὅτε δὲ ἀγαθὰ, εἰς τὸν παράδεισον, ὅτε δὲ κακὰ, εἰς τὸν ᾞδην.

» ἐραστὸς (καλὸς), καὶ μεμιγμένος τοῖς ἐμπαθέσι[1], γί-
» νεται μετὰ θάνατον, οὐδέποτε δὲ τοῖς ἀπαθέσι[2].

13. «Πέντε αἰτίας διῃρημένας γνῶθι παρ' ἐμοῦ τῆς ἐκτελέ-
» σεως τῶν ἔργων πάντων, διαλαμβανομένας ἐν τῷ βι-
» βλίῳ, τῷ περὶ θεογνωσίας καὶ θεολογίας[3].

14. «Εἰσὶ δὲ ταῦτα τὸ σῶμα, ἡ οἴησις, ἡ πενταειδὴς αἴσθη-
» σις[4], ἡ πενταειδὴς πνοὴ[5] (ὁ ἀὴρ[6]), καὶ ἡ θέλησις.

15. «Ὅ,τι δὲ δίκαιον ἢ ἄδικον ποιεῖ ὁ ἄνθρωπος ἐν ἔργῳ, ἢ
» λόγῳ, ἢ διανοίᾳ, τούτου εἰσὶν αἰτία τὰ εἰρημένα ταῦ-
» τα πέντε.

16. «Οὕτως οὖν ἔχοντος, ὅς τις θεωρεῖ τὴν ψυχὴν μόνην ἐν-
» εργὸν τῶν ἔργων πάντων, οὗτος, ὡς ἄνους καὶ ὡς μὴ
» πεφωτισμένος τὴν διάνοιαν, οὐκ ὀρθῶς θεωρεῖ.

17. «Οὗ τινος δ' ἡ γνώμη ἢ ἡ φύσις ἀνυπερήφανός ἐστι, καὶ
» οὗ τινος ἡ διάνοια οὐκ ἔστι κεχραμμένη[7], οὗτος, εἰ καὶ
» φθείρει τούτους τοὺς ἐν τῷ κόσμῳ, οὔτε φθείρει, οὔτε
» φθείρεται[8].

---

1. Τοῖς Ἀτεαγγαῖς (Πρ. Γρ.), τοῖς ἐφιεμένοις καρποῦ.

2. Τοῖς Σαννεασαῖς (Πρ. Γρ.), τοῖς μὴ ἐφιεμένοις καρποῦ.

3. Τοῦ Καπίλα.

4. Τουτέστιν αἱ δυνάμεις τῶν πέντε αἰσθήσεων· ἑκάστη γὰρ τῶν πέντε αἰσθήσεων εἷς θεὸς ἀπονέμεται, τουτέστι τῇ ὀσφρήσει, τῇ ὁράσει, τῇ ἀκοῇ, καὶ τῇ ἀφῇ ἢ ψαύσει.

5. Ἄνευ γὰρ τῆς πνοῆς οὐ δύναται συστῆναι τὸ σῶμα.

6. Πενταειδής ἐστιν ὁ ἀὴρ κατὰ τοὺς φυσικοὺς τῶν Ἰνδῶν· ἡ πνοὴ, ἡ πορδὴ, ὁ ἐρευγμὸς, ὁ περὶ τὸν στόμαχον, καὶ ὁ περὶ ὅλον τὸ σῶμα.

7. Τουτέστιν οὐκ ἐνέχεται οὔτε τοῖς καλοῖς, οὔτε τοῖς κακοῖς, ταὐτὸν εἰπεῖν, οὔτε ἐπὶ τοῖς καλοῖς χαίρει, οὔτε ἐπὶ τοῖς κακοῖς ἄχθεται.

8. Ὅςτις οὐκ ἐπαίρεται ἐπὶ τοῖς ἔργοις αὐτοῦ, καὶ ὅςτις οὐ προσφύεται οὔτε τοῖς ἀγαθοῖς, οὔτε τοῖς κακοῖς, εἰ καὶ φθείρει τὸν κόσμον, οὗτος οὔτε φθείρει, οὔτε φθείρεται. Ἐνταῦθα πάλιν ἀναφέρει τὸν λόγον εἰς τὸν Ἀρζούναν, παρακινῶν αὐτὸν εἰς πόλεμον, ὡς ἐστι νενομοθετημένον. Οἱονεὶ ἔλεγεν· ἐπειδὴ εἶ προστεταγμένος ὑπὸ τοῦ νόμου πολεμεῖν, καθὸ Ξατρὴς, εἰ καὶ θανατώσεις, οὐ δόξεις θανατοῦν, ὅταν μὴ ποιῇς τὸ τοιοῦτον ἐπὶ ὑπερηφανίᾳ καὶ πλεονεξίᾳ, ὅτε ἀναπέμπει ταῦτα εἰς Θεὸν, γινώσκων, ὅτι πληρωτικός ἐστι τῆς ἀφέσεως αὐτοῦ.

18. «Ἡ αἰτία τοῦ ἔργου τριττή ἐστιν· ἡ δόξα, τὸ δοξαζόμενον, καὶ ὁ δοξάζων[1]. Καὶ ἡ σύστασις δὲ τοῦ ἔργου » τριττή ἐστι· τὸ ὄργανον, τὸ τέλος, δι' ὃ τὸ ἔργον γί» νεται, καὶ ὁ ἐνεργῶν[2].

19. «Ἡ μὲν γνῶσις, καὶ τὸ ἔργον, καὶ ὁ ἐνεργῶν τριχῶς λέ» γεται, ἐκ τῶν τριῶν εἰδῶν τῶν ποιοτήτων, ἐν τῷ φυ» σιολογικῷ βιβλίῳ· ταῦτα δ' ἄκουσον παρ' ἐμοῦ ὡς » ἔχουσι.

20. «Δι' ἧς γνώσεως ἡ ψυχὴ θεωρεῖται μία καὶ ἀδιαίρετος ἐν » ἅπασι τοῖς ἐμψύχοις, οὖσι κατὰ μέρος, αὕτη ἡ γνῶσις » θεωρεῖται Σατβική[3].

21. «Ἡ δὲ γνῶσις γινώσκει ἑκάστην ψυχὴν οὐχὶ μίαν ἐν ἅ» πασι τοῖς σώμασιν, ἀλλὰ πολλὰς καὶ διῃρημένας, ταύ» την γίνωσκε Ῥαγικήν[4].

22. «Ἡ δὲ γνῶσις γινώσκει τὴν καθόλου ψυχὴν[5] ἐν ἑνὶ μό» νῳ σώματι (ἢ ἀφομοιώματι[6]), αὕτη, ἀναπόδεικτος[7] » οὖσα, καὶ σφαλερά, καὶ χαμερπής, λέγεται γνῶσις Τα» μική.

---

1. Ὁ σκοπὸς, τὸ σκοπούμενον καὶ ὁ σκοπῶν.—ἡ γνῶσις, τὸ γνωστὸν καὶ ὁ ἄνθρωπος.— ὁ νοῦς, τὸ νοούμενον, καὶ ὁ νοῶν (Δ. Γρ.).

2. Ἡ ἐνέργεια, τὸ ἔργον καὶ ὁ ἐνεργῶν·—ἐξ οὗ, δι' οὗ, καὶ πρὸς ὃ (Δ. Γρ.).

3. Ὁ Βεάσας δοξάζει τὴν ψυχὴν μίαν καὶ ἀδιαίρετον.

4. Ὁ δὲ Καπίλας, καὶ ὁ Γαουτάμας, καὶ ἄλλοι δοξάζουσι τοσαύτας, ὅσα καὶ σώματα· ἐπειδὴ, λέγουσιν, ἑνὸς λυπουμένου, ἢ χαίροντος, ἕτερος οὐ πάσχει τὸ αὐτό.

5. Τὴν ψυχὴν τοῦ Παντὸς, τὸν Θεὸν δηλ.

6. Δηλ. δοξάζει τὸ σῶμα ψυχὴν (ὡς οἱ ἄθεοι) καὶ τὸ ἀφομοίωμα Θεὸν, ὡς οἱ δεισιδαίμονες, περιωρισμένως δηλ. καὶ οὐχὶ ἀπεριορίστως. Ἐνταῦθα ἀμυδρῶς πως καθάπτεται τῶν τὰ ἀγάλματα δοξαζόντων θεούς· οἱ μὲν γὰρ δοξάζοντες τὴν εἰκόνα τῆς Καλῆς, φρονοῦσιν ὅτι αὐτή ἐστιν ἐν τούτῳ τῷ ἀφομοιώματι θεὸς, καὶ οὐχὶ ἕτερος, καὶ ἐν τοῖς λοιποῖς ὁμοίως.

7. Ἄνευ ἀποδείξεως τῆς Βέδας.

23. «Ὅ,τι δ' ἔργον ὡρισμένον[1] ἐκτός ἐστι τῆς προσπαθείας[2], » μὴ πραττόμενον δηλονότι ἐξ ἐφέσεως[3] ἢ ἀπεχθείας » ὑπὸ τοῦ μὴ ἐφιεμένου τυχεῖν καρποῦ, τοῦτο λέγεται » ἔργον τῆς Σάτϐας.

24. «Ὅ,τι δ' ἔργον πράττεται μετὰ πολλῆς σκληραγωγίας » ὑπὸ τοῦ ἐφιεμένου τυχεῖν τοῦ ἐφετοῦ, καὶ οἰηματίου[4], » τοῦτο λέγεται ἔργον τῆς Ῥάγας.

25. «Ὅ,τι δ' ἔργον βάλλεται εἰς πρᾶξιν ἐξ ἀνοίας, ἄνευ τοῦ » θεωρῆσαι τὸ ἀποτέλεσμα[5], καὶ τὴν δαπάνην[6], καὶ τὴν » βλάϐην τῶν ἄλλων, καὶ τὴν ἑαυτοῦ δύναμιν[7], ἐκεῖνο » τὸ ἔργον λέγεται ἴδιον τῆς Τάμας.

26. «Ὁ δὲ μὴ προσπαθής[8] τινι, καὶ ὁ ἀνυπέροπτος, καὶ ὁ » συνὼν τῇ καρτερίᾳ καὶ ἀνδρίᾳ, καὶ ὁ ἀμετάϐλητος » ἐπὶ τῇ ἐπιτυχίᾳ καὶ ἀποτυχίᾳ[9], οὗτος λέγεται ἐνερ- » γὸς[10] τῆς Σάτϐας.

27. «Ὁ δὲ ἐμπαθὴς[11], καὶ ὁ ἐφιέμενος τυχεῖν καρποῦ τῶν » ἔργων, καὶ ὁ πλεονέκτης[12], καὶ ὁ φονικὸς[13], καὶ ὁ δω-

---

1. Καθὼς τὸ εὔχεσθαι, τὸ λούεσθαι, τὸ θύειν, τὸ ἐλεεῖν κτλ.

2. Τῆς προσφύσεως (Πρ. Γρ.).

3. Δι' ἀπόλαυσιν παιδὸς, ἢ πλούτου, ἢ διὰ δυστυχίαν καὶ θάνατον ἐχθροῦ.

4. Οἴεται, ὅτι οὐδεὶς ἕτερος ὅμοιός ἐστιν αὐτῷ εἰς τὴν ἐκτέλεσιν τῶν νενομισμένων.

5. Ἢ καλὸν ἔσται ἢ κακόν.

6. Πόσα δαπανήσει ἢ καταναλώσει.

7. Εἴ ἐστι δυνατὸς πρᾶξαι, ἢ μή.

8. Προσπεφυκώς τινι (Δ. Γρ.).

9. Τουτέστιν ἐφ' οἱῳδήποτε ἔργῳ ὁ αὐτὸς, εἴτε ἐγένετο κατὰ τὴν ἔφεσιν αὐτοῦ, εἴτε οὐκ ἐγένετο· οὔτε χαίρει ἐπὶ τῇ ἐπιτυχίᾳ, οὔτε λυπεῖται ἐπὶ τῇ ἀποτυχίᾳ, ἐπὶ τῷ καλῶς γεγονότι, ἢ μή.

10. Ἐργάτης (Πρ. Γρ.).

11. Ὁ φιλότεκνος καὶ φιλόπλουτος.

12. Ὁ ἐραστὴς τῶν ἀλλοτρίων.

13. Ὁ ἐναγὴς, ὁ ζωοκτόνος (Δ. Γρ.).

» ρολήπτης[1], καὶ ὁ συνὼν τῇ χαρᾷ καὶ τῇ λύπῃ[2],
» λέγεται ἐνεργὸς τῆς Ῥάγας.

28. «Ὁ δ' ἄφροντις[3], καὶ ἀδιάκριτος, καὶ ἐπηρμένος, καὶ » σκληρὸς[4], καὶ ὕπουλος, καὶ καταφρονητὴς, καὶ ῥᾴ- » θυμος, καὶ μελαγχολικὸς, καὶ βραδὺς τοῖς ἔργοις, λέ- » γεται ἐργάτης τῆς Τάμας.

29. «Ἄκουσον δὲ τριχῶς, ὅτι τριττόν ἐστι τὸ εἶδος τῆς τοῦ » νοὸς γνώσεως καὶ ἕξεως[5], κατὰ τὰς ποιότητας, ῥη- » θησόμενον ἐν τοῖς ἑξῆς ἀνελλιπῶς καθ' ἓν ἕκαστον.

30. «Ἡ μὲν οὖν γνῶσις γινώσκει τὴν τοῦ νόμου ἐξακολούθη- » σιν, καὶ τὴν ἐκ τοῦ ἀνόμου ἔκκλισιν[6], καὶ τί ἄξιον » πράττεσθαι καὶ μὴ, καὶ τὸν φόβον[7], καὶ τὴν ἀφο- » βίαν, καὶ τὴν ἐμπάθειαν[8] καὶ τὴν ἀπάθειαν, αὕτη ἐστὶ » γνῶσις Σατβική.

31. «Δι' ἧς δὲ γνώσεως ὁ ἄνθρωπος γινώσκει τὸ νόμιμον καὶ » τὸ ἄνομον, καὶ τὸ πρακτέον καὶ μὴ, οὐχ ὡς ἔχουσιν, » ἀλλ' ἑτεροίως, αὕτη ἐστὶ γνῶσις Ῥαγική.

32. «Ἡ δὲ γνῶσις τὸ ἄνομον κρίνει νόμιμον, καὶ τὰ πάντα » ἐννοεῖ ἀντεστραμμένως, περικεκαλυμμένη τῷ σκότει, » αὕτη ἐστὶ γνῶσις Ταμική.

33. «Δι' ἧς δὲ θεόφρονος ἕξεως[9] κρατεῖ ὁ ἄνθρωπος τῆς καρ-

---

1. Ἡ ἀσελγής.
2. Ὁ χαίρων ἐπὶ τῇ ἐπιτυχίᾳ, καὶ λυπούμενος ἐπὶ τῇ ἀποτυχίᾳ.
3. Ἀπρονόητος (Δ. Γρ.).
4. Ἀπηνής (Δ. Γρ.).
5. Καὶ τῆς καρτερίας (Πρ. Γρ).
6. Δηλ. γινώσκει τί ἐστι τὸ ἕν, καὶ τί τὸ ἄλλο.
7. Φόβος ὅταν πράττῃ τὰ ἄνομα, ἀφοβία δὲ τὸ πράττειν τὰ τοῦ νόμου.
8. Πόθεν γίνεται ἡ ἐμπάθεια, ὁ δεσμὸς τῆς ψυχῆς μετὰ τοῦ σώματος, καὶ πόθεν ἡ ἀπάθεια, ἡ λύσις τῆς ψυχῆς ἀπὸ τοῦ σώματος.
9. Ἡ καρτερίας.

» δίας, καὶ τῆς ἐνεργείας τῆς πνοῆς [1] καὶ τῶν αἰσθή-
» σεων, αὕτη ἐστὶ καρτερία [2] Σατβικὴ.

34. «Δι' ἧς δὲ καρτερίας [3] ὁ ἄνθρωπος κρατεῖ [4] τὸν νόμον
» καὶ τὴν ἐπιθυμίαν, καὶ τὸν πλοῦτον, καὶ ἐκ ταύτης τῆς
» ἀφορμῆς γίνεται ἐραστὴς τοῦ καρποῦ, αὕτη ἐστὶ καρ-
» τερία Ῥαγικὴ.

35. « Δι' ἧς δὲ ἕξεως [5] ὁ ἀπρονόητος [6] ἄνθρωπος οὐκ ἀφίη-
» σιν οὔτε τὸν ὕπνον, οὔτε τὸν φόβον, οὔτε τὴν λύπην,
» οὔτε τὴν μεταμέλειαν, οὔτε τὸν κόμπον, αὕτη ἐστὶν
» ἕξις Ταμικὴ.

36. «Νῦν δ' ἄκουσόν μου, ὅτι καὶ ἡ χαρὰ τριττή ἐστιν. Ἐν
» ᾗ χαρᾷ ἥδεται ὁ ἄνθρωπος μετὰ πολλὴν γύμνασιν καὶ
» μόχθον, καὶ τῆς λύπης παύεται·

37. «Καὶ ἡ χαρὰ ἐν μὲν τῇ ἀρχῇ πικρά ἐστιν, ὥςπερ φάρ-
» μακον, ἐν δὲ τῷ τέλει ὁμοία τῇ ἀμβροσίᾳ, αὕτη λέ-
» γεται Σατβικὴ, γινομένη ἐκ τῆς λαμπρᾶς θεοφροσύνης·

38. «Ἡ δὲ χαρὰ ἐκ τῆς συζεύξεως τῶν αἰσθητῶν καὶ τῶν αἰ-
» σθήσεων γίνεται ἐν μὲν τῇ ἀρχῇ ὁμοία τῇ ἀμβροσίᾳ, ἐν
» δὲ τῷ τέλει φαρκερὰ [7], αὕτη λέγεται Ῥαγικὴ.

---

1. Καὶ τοῦτο γὰρ μία ἐγκράτεια λογίζεται παρὰ τοῖς Ἰνδικοῖς ἀσκηταῖς, τὸ ἐπέχειν τὸν ἀέρα καὶ μὴ εἰσπνέειν, μηδ' ἀναπνέειν συνεχῶς.

2. Ἡ ἕξις.

3. Ἡ καρτερία ἐνταῦθα ἐννοεῖται ἀντὶ ἀνάγκης. Τρία ἀναγκαῖα παρὰ τῇ Βέδᾳ τοῖς ἐν κόσμῳ· ἡ τήρησις τῶν τοῦ νόμου (τὸ εὔχεσθαι δηλ. καὶ τὸ ἐλεεῖν)· ἡ κτηματολογία (τὸ ἐργάζεσθαι δηλ. ἵνα κτήσηται τὰ πρὸς ζωάρκειαν), καὶ ἡ χρῆσις τῆς σωματικῆς ἡδονῆς.

4. Φυλάττει δηλ. τὸν νόμον, καὶ τὴν ἐπιθυμίαν, καὶ τὸν πλοῦτον, ἵν' ἀπολαύσει καρποῦ· φυλάττει τὸν νόμον, νηστεύει δηλ. καὶ προσεύχεται ἵν' ἀπολαύσῃ τοῦ οὐρανοῦ· ἐπιθυμεῖ ὥστε ἀπολαῦσαι υἱοῦ ἢ καὶ ἄλλων ἐφετῶν, φυλάττει τὸν πλοῦτον, ὥστε μεταδοῦναι τοῖς ἑαυτοῦ υἱοῖς, ἢ νικῆσαι τοὺς ἐχθρούς,

5. Καρτερίας (Πρ. Γρ.).

6. Ἀστόχαστος (Πρ. Γρ.).

7. Ὡς φάρμακον.

39. «Οἷα δὲ χαρὰ καὶ πρότερον καὶ ὕστερον πρόξενός ἐστιν » ἀνοίας τῇ ψυχῇ, συνισταμένη ἐκ τοῦ ὕπνου καὶ ῥα- » θυμίας, καὶ ἀμεριμνίας, ἡ τοιαύτη λέγεται Ταμική.

40. «Οὐκ ἂν εἴη ἐν γῇ, ἢ ἐν οὐρανῷ [1], ἢ ἐν θεοῖς ἔμψυχόν » τι ἢ ἄψυχον, ὃ ἀπήλλακται τῶν τριῶν τούτων ποιο- » τήτων, τῶν ἐκ τῆς ὕλης [2] γεννηθεισῶν.

41. «Τὰ ἔργα τῶν Βραχμάνων, καὶ Ξατρῶν, καὶ Βαίσσων, » καὶ Σούδρων [3] διῃρημένα εἰσὶ κατὰ τὰς ἰδίας [4] αὐτῶν » ποιότητας [5].

42. «Καὶ ἡ μὲν ἄνεσις τῆς ψυχῆς, ἡ ἐγκράτεια τῶν παθῶν, » ἡ ἄσκησις, ἡ ἁγνότης, ἡ ἀνοχὴ, ἡ ἰσότης, ἡ μάθησις, » ἡ θεογνωσία καὶ ἡ ὀρθοδοξία, ταῦτα πέφυκεν ἔργον » ἴδιον τοῦ Βραχμᾶνος.

43. «Τὸ δὲ γενναῖον, τὸ θαῤῥαλέον, τὸ καρτερικὸν, τὸ ἐπι- » δέξιον, τὸ μὴ φεύγειν ἐκ τοῦ πολέμου, τὸ δωρεῖσθαι, » καὶ τὸ δεσπόζειν, ἴδια πέφυκε τοῦ Ξατρῆ.

44. «Τὸ δὲ γεωργεῖν, τὸ βουκολεῖν, καὶ τὸ ληψοδοτεῖν, ἴδια

---

1. Δηλ. πάντα τὰ ὄντα μετέχουσι τῶν τριῶν ποιοτήτων τῆς ὕλης· καθότι ἡ ψυχὴ, ἀπαλλαγεῖσα τῶν τριῶν ποιοτήτων, καὶ κτησαμένη τὴν ἀπάθειαν, ἑνοῦται τῷ Θεῷ· ὥστε δῆλον ἐκ τούτων, ὡς καὶ οἱ θεοὶ ὑλικοί πως εἰσὶ καὶ ἐμπαθεῖς· οὐ γὰρ ἂν ἔχαιρον, οὐδ' ἐλυπῶντο, οὐδ' ἠρίζοντο, οὐδὲ ταῖς θυσίαις ἐφηδύνοντο· εἰ δὲ ταῦτα, ἄρα καὶ αὐτοὶ ἐμπαθεῖς πεφύκασι.

2. Τῆς πρώτης καὶ ἀρχαίας ὕλης.

3. Ἵνα μὴ εἴπῃ τις, ὅτι πάντα μετέχουσι τῶν τριῶν ποιοτήτων, πῶς ἂν γένοιτο μαζα; διὰ τοῦτο λέγει τὰ ἑξῆς μέχρι τέλους, ὅτι ἑκάστη φυλὴ, ποιοῦσα τὰ ὡρισμένα ἰδίως, καὶ ἐκ τούτου εὐάρεστος γινομένη τῷ Θεῷ, καὶ σεβομένη αὐτὸν, τυγχάνει ἀθανασίας τῇ ἐκείνου χάριτι, καὶ τοῦτό ἐστι κυρίως ἡ ὑπόθεσις τῆς Γιτᾶς.

4. Κατὰ τὰς συμφύτους αὐτῶν ποιότητας.

5. Ὁ μὲν γὰρ Βραχμὰν ἔχει μόνον τὴν Σάτβαν· ὁ δὲ Ξατρῆς ἔχει ὀλίγον ἐκ τῆς Σάτβας καὶ τὸ ὅλον τῆς Ῥάγας· ὁ δὲ Βαίσσας ἔχει ὀλίγον μὲν τῆς Τάμας, τὸ πλέον δὲ τῆς Ῥάγας· ὁ δὲ Σούδρας ἔχει ὀλίγον τῆς Ῥάγας, καὶ τὸ ὅλον τῆς Τάμας. Ὅτε δ' ἔχουσι τοὐναντίον, ὁ μὲν Σούδρας δηλ. ἔχει τὴν Σάτβαν, ὁ δὲ Βραχμὰν τὴν Τάμαν, τότε ὁ μὲν Σούδρας λογίζεται Βραχμὰν, ὁ δὲ Βραχμὰν Σούδρας. Καὶ ἐν τῇ δευτέρᾳ γεννήσει, ὁ μὲν τοιοῦτος Βραχμὰν γεννᾶται Σούδρας, ὁ δὲ τοιοῦτος Σούδρας γεννᾶται Βραχμάν.

» πέφυκε τοῦ Βαΐσσα· τὸ δὲ δουλεύειν ἴδιον τοῦ Σούδρα [1].

45. «Ὁ δ' ἄνθρωπος, τῷ οἰκείῳ ἔργῳ ἐμμένων ἀπολαμβάνει » θεογνωσίαν. Ὃν δὲ τρόπον ἀπολαμβάνει θεογνωσίαν ὁ » τῷ οἰκείῳ ἔργῳ ἐμμένων, ἄκουσον παρ' ἐμοῦ.

46. «Ἐξ οὗ ἡ γένεσις τῶν ὄντων, καὶ δι' οὗ τὸ Πᾶν τοῦτο » συνέχεται, τούτῳ τῷ Θεῷ ὁ ἄνθρωπος εὐαρεστῶν [2] διὰ » τοῦ οἰκείου ἔργου, ἀπολαμβάνει θεογνωσίαν.

47. «Ὁ γὰρ ἴδιος νόμος, εἰ καὶ ἐλάττων [3] δοκεῖ, καλλίων τοῦ » ἀλλοτρίου ἐστὶ, τοῦ φαινομένου κρείττονος [4]· ποιῶν γὰρ » τὸ ἐκ τῆς εἱμαρμένης ὡρισμένον ἔργον, οὐχ ἁμαρτάνει » ὁ ἄνθρωπος.

48. «Οὔκουν ἐγκαταλειπτέον τὸ ἐξ εἱμαρμένης ὡρισμένον ἔρ- » γον, εἰ καὶ κακόν ἐστιν· ἅπαντα γὰρ τὰ ἔργα περι- » κεκαλυμμένα ἐστὶ τῷ κακῷ, καθὼς τὸ πῦρ τῷ καπνῷ [5].

49. «Ὁ μὴ προσέχων μηδέσι τὸν νοῦν [6], καὶ ὁ ὢν ἄνευ φρονή- » ματος [7], καὶ ὁ ἀπηλλαγμένος τῆς ἐφέσεως [8], ἀπολαμ-

---

1. Ὁ Βραχμὰν τῷ ἑαυτοῦ ἔργῳ, καὶ ὁ Ξατρῆς, καὶ ὁ Βαΐσσας, καὶ ὁ Σούδρας τοῖς ἑαυτῶν ἔργοις ὁμοίως· καθότι καὶ ὁ Σούδρας ἀρετὴν ποιεῖ, ὅτε πιστῶς δουλεύει, καὶ ἐν τῇ ἀναγεννήσει δοξάζεται.

2. Λατρεύων (Πρ. Γρ.).

3. Καὶ τοῦτο εἰς τὸν Ἀρζούναν ἀναφέρεται· οἱονεὶ ἔλεγεν· εἰ καὶ ὁ νόμος σου κακὸς δοκεῖ, διότι ἐπιτάττει σοι, ὡς Ξατρῇ, τὸ χύειν αἵματα, ἀλλὰ καλλίων ἐστὶ τοῦ τῶν Βραχμάνων· τοῖς μὲν γὰρ Βραχμᾶσιν ἐπιτάττει τὸ εὔχεσθαι, τοῖς δὲ Ξατραῖς τὸ πολεμεῖν. Καλῶς τοιγαροῦν ποιήσεις, εἰ τοῖς τοῦ ἰδίου νόμου ἐξακολουθήσεις.

4. Ἀγαθοῦ (Πρ. Γρ.).

5. Καὶ ὁ καπνὸς γὰρ σύμφυτός ἐστι τῷ πυρί· οἱονεὶ ἔλεγε· καὶ τὸ ἔργον τοῦ Βραχμᾶνος κακόν ἐστι. Κατὰ τὸ δόγμα τοῦ Καπίλα κακά εἰσι πάντα τὰ ἔργα, ὡς συνδέοντα τὴν ψυχὴν τῷ σώματι. Καὶ ἔργα γὰρ καλὰ ποιήσας, καὶ οὐρανοῦ ἀπολαύσας, πάλιν ἐπὶ γῆς κάτεισι, καὶ μετασωματοῦται.

6. Ἐνταῦθα, ἵνα μὴ εἴπῃ τις, ὅτε κακὸν σύνεστι παντὶ ἔργῳ γινομένῳ, πῶς ἂν ἀγαθὸν ἐξ αὐτοῦ γένοιτο, διὰ τοῦτο ἐπιφέρει τὸ ἑξῆς· ὅτι ἀγαθὸν ἐξ ἔργου γίνεται, ὅτε οὐκ ἀποβλέπει εἰς καρπόν.

7. Ὁ νικητὴς ἑαυτοῦ (Πρ. Γρ.).

8. Ὅστις οὐδενὸς ἐφίεται.

» ϐάνει τῇ ἀποχῇ ταύτῃ τὴν ἀπράγμονα καὶ ὑψηλὴν θεο-
» γνωσίαν.

50. «Ἄκουσον δ' ἐμοῦ ἐν περιλήψει, ὅπως ὁ ἄνθρωπος κτη-
» σάμενος τὴν θεογνωσίαν ἀπολαμϐάνει τὸν Θεὸν, καὶ
» ὁποία ἐστὶν ἡ βεϐαία στάσις τῆς θεογνωσίας [1].

51. «Ἑνωθεὶς τῇ Σατϐικῇ γνώσει [2], καὶ τῇ καρτερίᾳ [3], καὶ
» κρατήσας ταύτης τῆς γνώσεως [4], καὶ ἀφεὶς τὰ ὑπὸ
» τὴν αἴσθησιν, καὶ ἀποϐαλὼν τὴν ἔφεσιν καὶ τὸ μῖσος [5],

52. «Καὶ ἐν μοναξίᾳ ζῶν, καὶ ὀλίγα ἐσθίων, καὶ νικῶν τὸν
» λόγον καὶ τὸ σῶμα, καὶ τὴν διάνοιαν, καὶ προσέχων
» τῇ θεογνωσίᾳ [6] ἀεὶ, καὶ ἀπαθὴς ὢν,

53. «Καὶ ἀφεὶς τὴν οἴησιν καὶ τὴν ἰσχυρογνωμοσύνην, καὶ τὸν
» τύφον, καὶ τὴν ἐπιθυμίαν, καὶ τὸν θυμὸν, καὶ τὴν πλεο-
» ξίαν, καὶ ἀφίλαυτος ὢν, καὶ ἤρεμος, ἀξιοῦται τῆς ὁ-
» μοιώσεως τοῦ Θεοῦ [7].

54. «Γενόμενος δὲ θεῖος, καὶ τῇ ψυχῇ χαίρων, οὔτε λυπεῖται
» (ἐπὶ τῷ ἀπολωλότι κακῷ), οὔτε ἐφίεται (τοῦ ἐλπιζο-
» μένου ἀγαθοῦ)· ὁ αὐτὸς δὲ ὢν ἐν πᾶσι τοῖς ἐμψύχοις [8],
» τὴν πρὸς ἐμὲ κέκτηται ὀρθὴν λατρείαν [9].

---

1. Ὅπως μένει βεϐαία ἡ θεογνωσία.

2. Πρότερον εἶπεν, ὅτι τριττή ἐστιν ἡ γνῶσις, Σατϐικὴ, Ῥαγικὴ, καὶ Ταμική· νῦν δὲ λέγει, ὅτι τῇ Σατϐικῇ γνώσει ἑνωθεὶς, κτλ.

3. Ἡ καρτερία τριττὴ ἐῤῥέθη· Σατϐικὴ, Ῥαγικὴ, καὶ Ταμική· νῦν δὲ λέγει, ὅτι «ἑνωθεὶς τῇ Σατϐικῇ καρτερίᾳ, κτλ.

4. Τῆς Σατϐικῆς γνώσεως, ἵνα μένῃ ἀκίνητος καὶ μηδὲν ἄλλο φρονῇ.

5. Ἅπερ γίνονται ἐκ τῶν ὑπὸ τὴν αἴσθησιν.

6. Τῇ θεωρίᾳ (Πρ. Γρ.).

7. Ἄξιός ἐστι τότε φρονεῖν (λέγειν) ὡς ἐγώ εἰμι Θεός.

8. Ἔν τε φίλοις, καὶ ἐχθροῖς, καὶ ἀλόγοις ζώοις.

9. Ὑψηλὴ καὶ ἀρίστη λατρεία ἐστὶ πρὸς τὸν Θεὸν, τὸ φείδεσθαι τῶν ἐμψύχων, καθὸ ἡ ψυχὴ αὐτῶν ἀπόῤῥοιά ἐστι Θεοῦ.

55. «Καὶ γὰρ δι' αὐτῆς γινώσκει ἐμὲ, ὅσος[1] καὶ οἷός[2] εἰμι » τῇ οὐσίᾳ· ἐκ δὲ τούτου γινώσκων ἐμὲ κατὰ τὴν οὐσίαν, » τυγχάνει ἐμοῦ.

56. «Ὁ δὲ ποιῶν πάντα τὰ ἔργα ἀεὶ, καὶ εἰς ἐμὲ ταῦτα ἀνα- » φέρων, ἀπολαμβάνει, τῇ ἐμῇ χάριτι, τὴν αἰώνιον καὶ » ἀναλλοίωτον θείαν ἕδραν.

57. «Ὅθεν ἀναφέρων ἐκ καρδίας πάντα τὰ ἔργα[3] εἰς ἐμὲ, καὶ » εἰς ἐμὲ ἀφορῶν, ἔσο ἀεὶ διανοούμενος ἐμὲ, διὰ τῆς ἐπι- » μόνου θεωρίας.

58. «Διανοούμενος γὰρ ἐμὲ, ἁπάντων τῶν τοῦ κόσμου δεινῶν » τῇ ἐμῇ χάριτι ἀπαλλαγήσῃ. Ἀλλ' ἐὰν μὴ ἀκούσῃς ὧν » εἶπον, ἐξ οἰήσεως, ἀπολεσθήσῃ.

59. «Εἰ δ' ἐρειδόμενος τῷ σαυτοῦ φρονήματι, οὐ θέλεις πο- » λεμεῖν, αὕτη ἡ γνώμη ἐσφαλμένη ἐστὶ, καὶ ἡ σαυτοῦ » φύσις συζεύξει σε τούτῳ[4].

60. «Ὅ,τι γὰρ ποιεῖν οὐκ ἐθέλεις ἐξ ἀνοίας, τοῦτο καὶ μὴ » θέλων ποιήσεις[5], δεδεμένος τῷ ἐκ φύσεως σαυτοῦ ἔργῳ.

61. «Ὁ Θεὸς ἵσταται[6] ἐν τῇ καρδίᾳ πάντων τῶν ὄντων, καὶ » κινεῖ αὐτὰ ὡς δι' ὀργάνου τῇ ὕλῃ, ᾗ συνέχονται[7].

---

1. Ἀπερίγραπτος, ἀπεριόριστος.

2. Ὅλος ἀλήθεια, νοῦς καὶ χαρά. Ἀληθῶς λέγει· διότι ἡ ποσότης καὶ ἡ ποιότης τοῦ Θεοῦ ἐστιν ἄτρεπτος καὶ ἀληθής.

3. Τριχῶς θεωροῦνται τὰ ἔργα· ἐκ συνηθείας, οἷον τὸ καθ' ἑκάστην εὔχεσθαι καὶ λούεσθαι· ἐκ συμβεβηκότος, οἷον τὸ εὔχεσθαι καὶ λούεσθαι, καὶ νηστεύειν, ὡς ἐπὶ τῆς ἐκλείψεως τοῦ ἡλίου καὶ τῆς σελήνης, καὶ τὰ ἐξ ἀγνοίας· οἷον τὸ εὔχεσθαι καὶ λούεσθαι καὶ νηστεύειν εἰς κάθαρσιν, ὅτε ἁμαρτάνει.

4. Καθὸ φύσις τοῦ Ξατρῆ ἐστι τὸ πολεμεῖν.

5. Οἱονεὶ ἔλεγεν, ὡς καὶ μὴ θέλων πολεμήσεις, ὅτε συγκροτηθήσεται ὁ πόλεμος, καθὸ ἡ φύσις σου διεγειρεῖ σε εἰς τοῦτο διὰ τῆς Ῥαγικῆς ποιότητος.

6. Ἀλλ' ὁ Θεὸς, ἱστάμενος ἐν τῇ καρδίᾳ σου εἰς λήθην σε φέρει, ὧν οἴει, καὶ ὀργανίζει σε διὰ τῆς φύσεως, καθὼς ὁ τεχνίτης ὀργανίζει τὰ ἐν σχήματι ζώων κατασκευασθέντα ἐπὶ παιδιᾷ, ἅπερ κινοῦνται καὶ μὴ θέλοντα.

7. Καὶ διὰ τῆς φύσεως αὐτὰ ὀργανίζει (Πρ. Γρ.).

62. «Εἶκε οὖν παντὶ τρόπῳ [1] ἐκείνῳ τῷ Θεῷ [2], καὶ δι' ἐκεί-
» νου τῆς χάριτος εὑρήσεις τὴν ὑπερτάτην ἄνεσιν [3] καὶ
» αἰώνιον χώραν.

63. «Αὕτη ἡ θεία γνῶσις, ἡ τῶν μυστικῶν μυστικωτέρα ἐῤ-
» ῥέθη σοι ὑπ' ἐμοῦ· ἐρευνήσας δὲ ταύτην ἀκριβῶς, ὡς
» ἀγαπᾷς, οὕτω ποίησον.

64. «Ἄκουσόν μου αὖ πάλιν τὸν ὑπέρτατον τοῦτον λόγον, καὶ
» μυστικώτατον πάντων· ἐπειδὴ γὰρ σφόδρα ἀγαπητός
» μοι εἶ, διὰ τοῦτο ἐρῶ σοι τὸ συμφέρον.

65. «Ἐμὲ διανοοῦ· ἐμοὶ λάτρευε· ἐμοὶ θύε· ἐμὲ προσκύνει,
» καὶ πρὸς ἐμὲ ἐλεύσῃ. Ἀλήθειαν ὑπισχνοῦμαί σοι [4], σὺ
» γὰρ εἶ ὁ ἀγαπητός μοι.

66. Ἀφεὶς [5] πάντα τὰ ἐν τῷ νόμῳ [6], ἐλθὲ πρὸς ἐμὲ, τὸ μό-
» νον καταφύγιον. Μὴ λυποῦ [7]· ἐγὼ γὰρ ἀπαλλάξω σε
» πάντων τῶν ἀμπλακημάτων.

67. «Ταῦτα δ' ἅπερ εἶπον [8], οὐκ ἔστι σοι λεκτέον οὐδέποτε,
» οὔτε τῷ παρανόμῳ [9], οὔτε τῷ ἀσεβεῖ [10], οὔτε τῷ πα-
» ρηκόῳ [11], οὔτε τῷ καταφρονοῦντί μου.

---

1. Ἐξ ἅπαντος (Δ. Γρ.).

2. Τουτέστι ποίει πάντα κατὰ τὴν θέλησιν καὶ προσταγὴν ἐκείνου. Ἐν τοῖς ἀνωτέρω δύω στίχοις εἶπεν, ὅτι ὁ ἄνθρωπος ὑποκείμενός ἐστι τῇ ὕλῃ, ἣ ἐνεργεῖ πάντα, κατὰ τὸ δόγμα τοῦ Καπίλα, ἢ τῇ φύσει, κατ' ἄλλους, ἢ τοῖς ἐν τῇ προτέρᾳ γενέσει ἔργοις, κατὰ τὸν Μιμάνσαν. Νῦν δὲ λέγει τὸ ἑαυτοῦ δόγμα.

3. Ἀνάπαυσιν (Δ. Γρ.).

4. Ἀλήθειαν ὀμνύω σοι, δηλ. μὴ ἔχε ἀμφιβολίαν τινά.

5. Ἐνταῦθα λέγει περὶ τῆς θεωρίας.

6. Πάντας τοὺς νόμους (Πρ. Γρ.).

7. Οἰόμενος, ὅτι ἁμαρτήσεις, ἀφεὶς τὴν εἰς τοὺς νόμους εὐπείθειαν.

8. Συμβουλεύσας τῷ Ἀρζούνᾳ τὴν θεογνωσίαν, νουθετεῖ ἤδη τίνι λεκτέον αὐτὴν, καὶ τίνι μή.

9. Τῷ μὴ ἐγκρατευομένῳ (Πρ. Γρ.).

10. Τῷ μὴ λατρεύοντι (Πρ. Γρ.).

11. Τῷ μὴ φιλοφρονοῦντι (Πρ. Γρ.).

68. «Ὅςτις δ' ἀνακαλύπτει[1] τὸ λίαν τοῦτο μυστικὸν (τὴν » Γιτὰν) τῷ ἐμοὶ λατρεύοντι, οὗτος, ποιῶν τὴν ἐξαίρετον » πρὸς ἐμὲ λατρείαν, ἀναμφιβόλως εὑρίσκει ἐμέ.

69. «Τούτου γὰρ οὐδεὶς ἄλλος ἐν ἀνθρώποις οὔτ' ἔστιν, οὔτ' » ἔσεται εὐαρεστότερός μοι, οὐδ' ἐπὶ γῆς ἐρασμιώτερός μοι.

70. «Ὅςτις μὲν οὖν ταύτην τὴν νόμιμον συνομιλίαν ἀμφοῖν » ἡμῶν ἀναγινώσκει, ἐγὼ θύομαι ὑπ' ἐκείνου τῇ νοερᾷ » θυσίᾳ[2]. Οὕτως ἐγὼ κρίνω.

71. «Ἀλλὰ καὶ ὅςτις ἀκούει ταῦτα[3] προθύμως τε καὶ φιλο- » φρόνως, καὶ οὗτος, ἀπαλλαγεὶς τῶν ἀμπλακημάτων ἀπο- » λαμβάνει τὸν εὐδαίμονα κόσμον τῶν Μακάρων.

72. «Τί δαί[4]; ἠκούσθησάν σοι ταῦτα, ἃ εἴρηκα, τῷ νοΐ, ἢ » οὐχί; ᾤχετο ἡ ἐξ ἀγνοίας ἀμφίγνοιά σου, ἢ οὐχί; »

ΑΡΖΟΥΝΑΣ.

73. « Ἡ μὲν ἄγνοιά μου ᾤχετο τῇ σῇ χάριτι· ἡ δὲ γνῶσις » προσεκτήθη[5]· διὸ δὴ μηδαμῶς ἀμφιγνοῶν, στερεός εἰ- » μι εἰς πόλεμον, καὶ ἃ εἴρηκας ποιήσω. ».

ΣΑΝΖΑΪΑΣ[6].

74. Οὕτω μὲν οὖν, ὦ βασιλεῦ, ἤκουσα ταύτης τῆς θαυμαστῆς καὶ φρικώδους διαλέξεως[7] τοῦ μεγαλοφυοῦς Κρισνᾶ καὶ τοῦ Ἀρζούνα.

---

1. ὅςτις δ' ἐρεῖ (Πρ. Γρ.).
2. Περὶ ἧς εἴρηκεν, ὅτι ἀνωτέρα ἐστὶν ἁπασῶν.
3. Ἄλλου ἀναγινώσκοντος.
4. Ἐνταῦθα ἀπορηματικῶς ἐρωτᾷ, ἵνα, εἰ ἡ ἄγνοια αὐτοῦ οὐκ ᾤχετο, προσδιδάξῃ αὐτὸν καὶ ἄλλα.
5. Πῶς ἀναιρέσω τοὺς συγγενεῖς μου.
6. Ὁ Σανζαΐας λέγει πρὸς τὸν Δρυταράστραν.
7. Συνομιλίας (Πρ. Γρ.).

75. Ἤκουσα δὲ τῇ τοῦ Βεάσα χάριτι ταύτης τῆς μυστικῆς καὶ ὑψηλῆς θεογνωσίας παρ' αὐτοῦ τοῦ πάντων γνώστου Κρισνᾶ.

76. Ἀναπολῶν δὲ ταύτην τὴν ψυχωφελῆ καὶ ὑπερφυῆ συνδιάλεξιν τοῦ Κρισνᾶ καὶ τοῦ Ἀρζούνα, φρίττω αὖθις λίαν καὶ πολλάκις, ὦ μέγα βασιλεῦ·

77. Ἀναπολῶν[1] δὲ κἀκείνην τὴν ὑπερφυῆ μορφὴν, ὦ μέγα βασιλεῦ, θαυμάζω τε, φρίττω καὶ ἐξίσταμαι καὶ αὖθις καὶ πολλάκις.

78. Ἔνθα τοιγαροῦν ὁ ὑπερσθενὴς Κρισνᾶς, καὶ ὁ τοξοφόρος Ἀρζούνας, ἐκεῖ ἐστι βεβαίως καὶ ἡ βασιλεία, καὶ ἡ νίκη, καὶ ἡ εὐτυχία, καὶ τὸ δίκαιον[2], κατὰ τὴν ἐμὴν κρίσιν.

---

1. Ἐνθυμούμενος (Πρ. Γρ.).

2. Οἱονεὶ ἔλεγεν· ἄφες τὴν ἐλπίδα, ὅτι οἱ υἱοί σου νικήσουσι καὶ βασιλεύσουσιν, ὅτε ἐν τῷ πολέμῳ πάρεισι τοιοῦτοι μεγαλοφυεῖς ἄνδρες.

Σημείωσις τοῦ ἀοιδίμου Μεταφραστοῦ.

«Ἐδιδάχθην ταύτην τὴν Γιτὰν παρὰ τοῦ Κανδαρδάσα, τῇ 12 τοῦ Νοεμ-
» βρίου κατὰ τὸ αωβ' ἔτος, ἐν Κασσῇ τῇ πόλει τῶν Βραχμάνων. »

ΤΕΛΟΣ.